APOLLONII DYSCOLI,

GRAMMATICI ALEXANDRINI,

DE PRONOMINE

LIBER.

PRIMUM EDITUS

AB

IMMANUELE BEKKERO,

PHILOLOGIAE IN UNIVERSITATE BEROLINENSI
PROFESSORE PUBL. ORD.

EX MUSEO ANTIQUITATIS STUDIORUM
SEORSUM EXPRESSUS.

BEROLINI,
IN LIBRARIA SCHOLAE REALIS.
1813.

PRAEMONITUM.

Quod vix sperabamus futurum, ut statim primo Musei antiquarii volumine aliquid veteris scriptoris ineditum afferremus, factum est erudita cura unius ex studiorum nostrorum sociis, cuius nomen hac editione ad plurium popularium notitiam proditur. Ab illo enim accepimus diu exspectatum Apollonii, nobilissimi Grammatici, librum, qui cum aliis duobus similis argumenti adhuc in ditissima talium copiarum bibliotheca Parisiensi iacebat. Eum codicem princeps olim contulit suisque studiis utilia enotavit Salmasius, qui tamen raro, ut alicubi ad Solinum, nonnulla inde proferendi copiam habuit. Tandem largiora indidem Excerpta extremo operi Maittairiano de Dialectis Gr. ab se repetito adiecit Jo. Fr. Reitzius, ex Is. Vossii apographo transcripta. Hunc autem Vossium nonnisi aliquot observationes, sibi notabiliores visas, et parum accurate excerpsisse et cum

paucis fragmenti de Adverbio confudisse, ita mox apparuit, ut frustula edita edendi integri epuli desiderium moverent magis quam explerent. Allatum deinde integrius apographum ad Batavos est per Ruhnkenium, qui quum suis illud amicis usurpandum dedisset, moriens reliquit bibliothecae Lugdunobatavae, ubi hodie custoditur. Frustra id nuper sibi Maittairii Dialectos recentaturo quaesitum esse, non sine stomacho conquestus est Sturzius.

Servatum vero Parisiis primitivum exemplar iam communi studiosorum commodo apertum debemus Viris excellentissimis, qui illi Graecorum MSS. thesauro praefecti egregie sciunt, quibus modis de exquisitioris doctrinae studiis bene mereri deceat tantam opulentiam, quae non omnia in proprios usus convertere possit, et quid suis ipsorum dignum sit personis. Promos enim, non condos pretiosarum opum illos esse, uno ore testantur, quibuscumque ex aliquot annis contigit ut magnae bibliothecae inexhaustos fontes adirent. Adire nimirum oportet ipsum, qui cupiat haurire. Qua fortuna praeclaro viro, quem Apolloniani libri editorem produximus, ad litterarum utilitatem frui concessit optimus Rex noster, studiorum liberalissimus fautor, cuius venerandae virtutes his adeo iniquis temporibus non tantum publicae sa-

lutis voto fiduciam praebent, sed etiam beatiore saeculo desiderata praesidia, quibus et doctrinae incrementa capiant, et qui doctrinis colendis vitam impendunt, ad prosperiorem cursum impellantur ornenturque. Inter iuniores igitur, quibus ex Regia munificentia vel artium amoenarum vel severioris scientiae causa ad exteros profecturis venia et viatica dari solent, prae ceteris dignus hic Bekkerus visus est, qui tali afficeretur beneficio. Ergo accepta vacatione professorii muneris, quod ipsi in universitate nuper Berolini ex ruinis laetius surgente demandatum erat, iter Parisinum ingressus est, dudum ante meditatum. Nam praeter omnis antiquitatis eximiam cognitionem, praeter subtilem utriusque linguae scriptorum lectionem, praecipue oratorum Atticorum, quos denuo recensitos illustratosque vulgabit, ille iam tum, quum sub magistris academicis studeret, variis diversarum aetatum membranis conferendis tantam eius rei facultatem sibi paravit, ut, Parisios quum venisset, sine ullo spatii dispendio oblatis facile peritequ uti posset.

Quod quam vere a nobis praedicetur, ostendit haec editio, utpote ex libro curata, qui insigni scripturae difficultate famosus, atque inter describendum simul distinguendus tonisque plerumque et spiriti-

bus notandus, etiam veteranos codicum helluones deterruerat. Hunc vero codicem primo statim tempore B. descripsit, descriptum ex interiore linguae et dialectorum usu emendavit, emendatum sedulaque repertae lectionis notatione instructum petentibus nobis submisit. Ita nunc opusculum legi integrum poterit inoffensius, quam particulae olim poterant, exscriptae a doctissimis illae quidem hominibus, sed in eo genere nondum nimium versatis. Ad intelligenda omnia, quod caput erat rei, unico usus est adiutore, eodem Grammatico ipso, cuius de syntaxi opus antehac tam assiduo triverat studio, ut probabilem eius editionem iam quinque abhinc annis conficere potuisset, nisi, quod in ceteris quoque sequitur, maturescere sua mallet potius quam ipse cito aucupanda fama cum poenitentiae periculo inclarescere. Inter alia enim, quae praestantissimum virum commendant omnibus, qui ingeniis non in speciem favent, eminet in eo modestia, non novitia ista, humi repens, ut quondam serpentis ictu feriat, sed antiqua erectique animi index, quae et se et alios eodem metitur modo, ac primum, quid res quaeque, tum quid homines sibi tribui velint, expendit. Quocirca nunc etiam nihil aliud, nisi quod maxime opus fuerat, explicando libro allaboravit,

satis habens eorum, quae solus vel in paucis possideret, fructum ceteris impertisse, quum facile ei fuisset continuo commentarium scribere, in quo et res et verba copiose illustraret; cuiusmodi in litteris ab eo acceptis egregia specimina vidimus. Neque ipsi deerit opportunitas de variis quaestionibus huius grammaticae diligentius disputandi, quando ad nos reversus suisque libris assidens, animum ad totum Apollonium edendum retulerit. Quare nos quoque nihil anquirere et ne litteram quidem manui eius addere voluimus, quamvis et mihi et Buttmanno nonnumquam aliquid aut adiiciendum aut dubitandum occurrisset.

De talibus quidem iucundum foret nobis in ipsa bibliotheca codicem tractantibus varie sermocinari, ut, si fieri posset, quibusdam in locis, laudatorum praesertim poetarum, aliquid certius ex evanidis vestigiis erueretur. Sed oculatissimum membranarum spectatorem novimus familiarem nostrum, nec nisi raro, etiam ubi in notulis parcus verborum est, quicquam ipsi latuisse arbitramur. Si tamen non omnia minima codicis vitia adscripsit, iure usus est suo, tamquam primarii editoris, cui iis, quae certam correctionem habent, correctis, vel in summa religione, nonnihil post venturis relinquere licet. Iam an B. ali-

quid reliquum fecerit, quod gravioris sit momenti, quam rem nemo profecto carpserit nisi inhumanior aut arrogantior, aliquando docebimur ab iis, qui codicem retractantes nunc perpurgato hoc exemplo commodius frui poterunt.

De utilitate libelli dicere et longum est et nihil opus ad eos, qui Apollonii de syntaxi libros, quorum novissima editio a. 1590 facta est, legere non potuerunt: eos autem, qui legerunt, satis erit verbo monuisse, eandem hic atque illic subtilitatem praeceptorum reperiri, pro grammatici istorum temporum studii conditione admirabilem, ex qua nobis ibi plurimum liceat proficere, ubi ex multiplici veterum lectione promuntur ea, quae quam egeni hodie ipsarum linguae formarum simus demonstrant. Quare merito Valckenarius fragmentum hoc rerum optimarum plenum appellavit.

Tantum nunc quidem et de editore, cuius studiorum in Graecis Latinisque litteris positorum plures per annos testis fui, et de munere eius, si non in vulgus, certe eruditis gratissimo, praefari debui.

Fr. A. Wolfius.

ΑΠΟΛΛΩΝΙΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΑΣ.

Β ΠΑΝΤΙ τῳ προῦπτόν ἐστιν, ὡς ἡ σύντομος ἑρμηνεία μετὰ τῆς δεούσης σαφηνείας πολλῷ κρείττων καθέστηκε τῆς οὐχ οὕτως ἐχούσης φράσεως. ὅθεν κατὰ δύναμιν τὴν ἰδίαν πειρασόμεθα, τὸν περὶ τῶν ἀντωνυμιῶν λόγον διεξιόντες, τὰ μὲν παρέλκοντα παραπέμπεσθαι, τὰ δὲ ἐλλείποντα προσαναπληρῶσαι, τὰ δὲ μακροπεριοδεύτως ὑπ' ἐνίων εἰρημένα ἀνελλιπῶς ἐπιτομώτερον φράσαι. Ἀρκτέον δὲ ἀπὸ τῆς κλήσεως, ἐπεὶ παρά τισι διάφορος. Τὸ μὲν οὖν
C πάντας παρατίθεσθαι διεψευσμένου ἐστὶ τὸ ἐπάγγελμα, τὸ δὲ τοὺς ἐλλογίμους οὐκέτι.

Ἀρίσταρχος λέξεις κατὰ πρόσωπα συζύγους ἐκάλεσε τὰς ἀντωνυμίας. Ὧι καὶ ἀντίκειται τὸ μὴ ἴδιον εἶναι τοῦτο τῶν ἀντωνυμιῶν· ἰδοὺ γὰρ καὶ τῶν ῥημάτων. μᾶλλον γὰρ αὐτῶν ὁ ὅρος· καὶ γὰρ κατὰ πᾶν πρόσωπον ἀκολουθεῖ, αἱ δὲ ἀντωνυμίαι οὐχ οὕτως, ὡς εἰρήσεται.

Ἀλλὰ μὴν οὐδὲ κατὰ τὸν τοῦ Τροιζηνίου Διονυσοδώρου λόγον παρονομασίας κλητέον, ἐπεὶ καὶ ἄλλα ἔν τισι παρονομάζεται· πετρώδης τε γὰρ καὶ ἐργατίνης. καὶ ἴσως οὐκ ἄλλαι τινὲς παραληφθήσονται ἢ αἱ κτητικαί, ἐπεὶ ἥ ἐγώ καὶ ἡ νῶϊ καὶ πᾶσαι αἱ πρωτότυποι θεματικαί.

Εἰ τὰ ὡρισμένα σεσημείωται, αἱ δὲ ἀντωνυμίαι ὡρισμένα πρόσωπα παρίστησιν, οὐκ ἀπιθάνως ὁ Τυραννίων σημειώσεις αὐτὰς ἐκάλεσεν. Ἀλλ' ἴσως ἐλλιπὲς τὸ τοιοῦτον· οὐδὲν γὰρ τῶν παρακολουθούντων αὐταῖς παρίστησιν.

Οὐδὲ μὴν συγκαταθετέον ἐστὶ τοῖς ὁριζομένοις· ἀντώνυμόν ἐστι μέρος λόγου ἀντ' ὀνόματος παραλαμβανόμενον. Οἱ γὰρ ὅροι τῶν γενικῶν ἐμπεριεκτικοί εἰσιν, οὐ μὴν τῶν εἰδικῶν. ὁ γοῦν ὅρος ὁ τοῦ ἀνθρώπου οὐ τὸν εἰδικόν, τὸν δὲ γενικὸν σημαίνει. καὶ νῦν ἀντώνυμόν ἐστι τὸ ἰδικόν, τὸ ἐγώ, τὸ σύ, ἀντωνυμία δὲ τὸ ὅλον, τουτέστι τὸ γενικόν· ὥςπερ ἀμφιβολία καὶ ἀμφίβολον, συνωνυμία καὶ συνώνυμον, διωνυμία καὶ διώνυμον, ὁμωνυμία καὶ ὁμώνυμον. τὸ γὰρ οὐκ ἐρῶ ἀμφίβολον· τό τε Αἴας, ἐπὶ τοῦ Λοκροῦ παραλαμβανόμενον καὶ τοῦ Τελαμωνίου, ὁμώνυμον. Ἀλλ' ἴσως φήσει τις παράλογον τὸ λέγειν ἀντωνυμίαν τὸ ἐγώ· δέον γὰρ ἀντώνυμον. Ἦν δ' ἂν παράλογον, εἰ μὴ τοῖς γενικοῖς πολλάκις συνεχρώμεθα ἀντὶ τῶν

Α εἰδικῶν, τὸ ζῶον τιθέντες ἐπ' ἀνθρώπου, καὶ ἐπὶ τοῦ φοίνικος τὸ φυτόν. τοιοῦτον οὖν καὶ τὸ προκείμενον.

Ἐκφεύγοντάς φασι τὸ Αἰολικὸν τοὺς περὶ Κόμανον ἀντωνομασίας καλεῖν, εἴγε τὸ μὲν ὄνυμα οὐ κοινόν, τὸ δὲ ὄνομα. Ναί, ἀλλά φασι καὶ ἄλλα κατὰ τὸ ἔθος ὀθνεῖα παρεισῆλθεν, ὡς τὸ Εὔξεινος πόντος Ἰακῶς τῷ ῑ πλεονάσαν· ὅ τε ἀπηλιώτης διὰ ψιλοῦ συναλειφθείς, ὅπερ συνεχὲς παρ' Ἴωσι· τό τε ξενοδοκεῖον καὶ πανΒ δοκεῖον· ἄλλα μυρία. Ἀλλὰ καὶ τοῦτο εὐδιάσειστον. εἰ γὰρ τὰ παρεισδύοντα τῶν διαλέκτων οὐκ ἐν τῷ καθόλου, ἅπαξ δέ που· — ἰδοὺ γὰρ κακόξενος καὶ φιλόξενος, ἄξενος, ἓν δέ ἐστι τὸ εὔξεινος· καὶ ἄφοδος καὶ ἀφορισμός καὶ ἀφορία, ἓν δὲ τὸ ἀπηλιώτης· — χρὴ ἄρα καὶ τὴν ἀντωνυμίαν ἅπαξ εἰρῆσθαι, καὶ τὰ ὑπολειπόμενα ἔχειν κατὰ τὴν κοινὴν ἐκφοράν, λέγω δὲ διὰ τοῦ ō. νῦν δὲ οὐδαμῶς ἔστιν ἐπινοῆσαι· πολυώνυμος γὰρ καὶ διώνυΒ μος. πῶς δὲ οὐχὶ γελοίως Αἰολικὸν εἰρήσεται τὸ ἱερώνυμος καὶ ἔτι τὸ ὁμώνυμος, δασυνόμενα; Λεκτέον οὖν, ὡς καὶ ἐπ' ἄλλων μυρίων κατὰ τὰς συνθέσεις μεταβολαὶ γίνονται φωνηέντων, καὶ ἐπὶ τοῦ ὀνόματος τὸ αὐτό. τὸ ἄνεμος διὰ τοῦ η̄ ποδήνεμος, καὶ ἔτι τὸ ἄγειν φορτηγός, στρατηγός· τό τε ἀνήρ ἀντήνωρ· τό τε α τῶν οὐδετέρων ō γίνεται, γηροκόμος, κρεοπώλης, χρεοφείλης. τὰ δύο διὰ τοῦ ῑ,

μονοπροσωποῦσι καὶ εἰς ὃ λήγουσι κατὰ τὸ
A οὐδέτερον αὐτό, ἐκεῖνο· οὕτως ἔχει καὶ τὸ τό
οὐδέτερον. Λεκτέον δέ, ὡς ἡ τοιαύτη συνηγορία
εὐπαράκρουστος· οὐ γάρ, εἴ τί τινι κατά τι
κεκοινώνηκε, τοῦτο πάντως ἐκείνῳ ταυτόν ἐστιν.
πρόσωπα παρίστασιν αἱ ἀντωνυμίαι, ἀλλὰ
καὶ τὰ ῥήματα· καὶ οὐ τὸ αὐτὸ μέρος λόγου.
γένος ἐπιδέχεται τὸ ἐμός, ἀλλὰ καὶ τὸ καλός·
ἀλλ' οὐ τὸ αὐτό. καὶ τί λέγω ἐπὶ λέξεως; ἐπὶ
παντὸς γὰρ φυσικοῦ τοῦτο. ζωότητος μετέχει
ὁ ἄνθρωπος, ἀλλὰ καὶ τὰ ἄλλα ζῶα· καὶ
B οὐ ταυτὸν θεὸς καί τε ἄνθρωπος· καὶ ἐπ'
ἄλλων ἀπείρων. οὐκ ἂν οὖν, ἐὰν ἀναφορὰν
σημαίνῃ ἡ ἀντωνυμία, πάντως ἂν εἴη ἄρθρον,
ἐπεὶ καὶ τὰ ἄρθρα ἀναφορὰν σημαίνει. Τί δὲ
μᾶλλον αἱ ἀντωνυμίαι ἄρθρα ἢπερ τὰ ἄρθρα
ἀντωνυμίαι; ἄλλως τε καὶ τὸ ὅτε ἀναφορικόν,
καὶ οὐ πάντως ἄρθρον. Οἶμαι δὲ καὶ τὸ ὑπὸ
τῶν Στωϊκῶν καλεῖσθαι αὐτὰ ἀοριστώδη ὑπό
τι μαχόμενον. ἀόριστον μὲν γὰρ τὸ ἄνθρω-
πος παρεγένετο. πᾶσα γὰρ ἀναφορὰ γνώ-
C σεως προϋφεστώσης ἐστὶ σημαντική, τὸ δὲ γι-
νωσκόμενον ὡρισται. πῶς οὖν ἀοριστώδη τὰ
ἄρθρα, ἀναφορὰν δηλοῦντα; Ἀλλ' εἰ καὶ φή-
σειέ τις ἀόριστα εἶναι ἐν τῷ ὁ περιπατῶν
κινεῖται καὶ ἐν τοῖς ὁμοίοις, φήσομεν ὅτι
μᾶλλον ὡρισμένα εἰρήσεται ἀπὸ τῶν ἀναφορὰν
σημαινόντων. Ἴσως οὖν πρὸς τὴν σύγκρισιν
τῶν ἀντωνυμιῶν, πάντοτε ὁριζομένων, ταῦτα

A ἐκάλεσαν ἀοριστώδη. Κἀκεῖνο δὲ εὔηθες τὸ
λέγειν, ἄρθρα ἀντὶ ἀντωνυμιῶν, καὶ διὰ τοῦτο
ἓν μέρος λόγου. πρῶτον οὐκ εἴ τι ἀντί τινος
παραλαμβάνεται, εὐθέως ταυτὸν ἐκείνῳ ἐστίν.
ἰδοὺ γὰρ

Ἕκτορι δίῳ

ἀντὶ τοῦ ἐμοί, καὶ τὸ

καρπῷ βριθομένη

ἀντὶ τοῦ βρίθεται. καὶ ὁ εἰ συναπτικὸς ἰσο-
δυναμεῖ τῷ ἀκολουθεῖ ῥήματι, ἀκολουθεῖ
B τῷ ἡμέραν εἶναι καὶ φῶς εἶναι — εἰ ἡμέ-
ρα ἐστί, φῶς ἐστί. τὸ γὰρ

. . . . ὅ μοι γέρας ἔρχεται

οὐ πάντως ἄρθρον ἀντὶ αἰτιώδους συνδέσμου
τοῦ ὅτι· ἴσως γὰρ ἀπεκόπη ὁ αἰτιώδης. τὸ δὲ
πάντων μεῖζον· μεγάλην ἀσθένειαν διὰ τὴν
ἰδίαν ἀπειρίαν τοῦ ποιητοῦ καταγγέλλουσι, φά-
σκοντες τοσαῦτα σχήματα ἄρθρων ἀντὶ ἀντω-
νυμιῶν παραλαμβάνειν. τὸ γὰρ μὴ ταῖς κατὰ
φύσιν λέξεσι κεχρῆσθαι κακία. Ἐλελήθει οὖν
C αὐτοὺς ἡ ὁμοφωνία τῶν ἄρθρων καὶ τῶν ἀντω-
νυμιῶν. ἡ γὰρ προκειμένη παραγωγὴ ὡς ἀπὸ
τῶν ἄρθρων πίστις γίνεται τοῦ ὁμοφωνεῖν τα
ἄρθρα ταῖς ἀντωνυμίαις. εἰ γὰρ τὸ τηλικοῦτος
ὄνομα, καθότι καὶ τὸ τηλίκος ὄνομα τοῦ
αὐτοῦ παραστατικόν, ὡςαύτως καὶ τὸ τηλι-
κόςδε, τό τε τημοῦτος καὶ τὸ τημόςδε ἐπιῤ-
ῥήματα, καθότι καὶ τὸ τῆμος, τηνικαῦτα καὶ
τηνικάδε, παντὶ προῦπτον ὅτι, εἰ τὸ οὗτος καὶ

ὅδε καὶ τούτου καὶ τοῦδε ἀντωνυμίαι, ἀν- A
τωνυμίαι ἄρα καὶ τὸ ὁ καὶ τὸ τοῦ, ὅτε οὕτω
παραλαμβάνονται. εἰ δὲ παράσσονται διὰ
τὴν ὁμοφωνίαν, μηδὲ τὸ ὅς ἄρθρον λεγέτωσαν
ὑποτακτικόν, ὅτι καὶ σύναρθρον ἀντωνυμίαν
σημαίνει, καὶ ἀόριστον μόριον ἐν τῷ ὃς ἂν
ἔλθῃ μεινάτω με, καὶ ἴσον τῷ οὗτος
παρὰ Ἀττικοῖς, ὡς Πλάτων ἢ δ' ὅς ἀντὶ τοῦ
ἔφη δὲ οὗτος. καὶ μακρὸν ἂν εἴη τὸ νῦν ὑπὲρ
ὁμοφωνίας διαλαβεῖν. Οὐκ ἐπεὶ δὲ ἐγκλίσεως
ἀμοιρεῖ ἥδε ἡ σύνταξις τῶν ἀντωνυμιῶν, πάν- B
τως ἐπιλήψεως τεύξεται. οὐδὲ γὰρ πᾶσα ἀν-
τωνυμία τὸν δισσὸν τόνον ἀνεδέξατο. ἄλλως τε
ὅσαι γένους ἐμφαντικαί εἰσιν, αὗται μόνως ὀρ-
θότονοι· περὶ γὰρ τῆς αὐτός ἐν τῷ ἰδίῳ τόπῳ
εἰρήσεται. ὀρθῶς ἄρα καὶ αἱ προκείμεναι ἀνέγ-
κλιτοι καθεστᾶσι. Κἀκεῖνο δὲ προσθετέον, ὡς
αἱ μὲν ἀντωνυμίαι ἀντ' ὀνομάτων, τὰ δὲ ἄρ-
θρα μετ' ὀνομάτων. πῶς οὖν ἓν μέρος λόγου τὸ
μετά τινος καὶ ἀντί τινος; Αἱ ἀντωνυμίαι μετὰ
ῥήματος αὐτοτέλειαν ποιοῦσιν, αὐτὸς γρά- C
φει, σὺ γράφεις· τὰ δὲ ἄρθρα οὔ. τὰ ἄρθρα
ὑποτακτικά ἐστι τῆς εὐθείας, αἱ δὲ ἀντωνυμίαι
εὐθείας οὖσαι οὐποτε ὑποτακτικαί. τῶν ἀντω-
νυμιῶν μεταλήψεις γίνονται εἰς ὀνόματα ἢ εἰς τὰς
ἰσοδυναμούσας, λέγω δὲ τὴν ἑ καὶ ἱ καὶ τὴν
οἱ, ὅτε εἰς τὴν αὐτός ἢ αὐτῷ ἢ αὐτόν με-
ταλαμβάνονται· τὰ δὲ ἄρθρα ἀμετάληπτα
εἰς ταῦτα· τὸ γὰρ

ὁ δὲ προσέειπεν
A ἐδείχθη ὡς ὁμοφωνεῖ μόνον τῷ ἄρθρῳ, οὐκ
ἔστι δὲ αὐτὸ ἄρθρον. ἔτι ἡ αὐτός μετὰ ἄλ-
λης ἀντωνυμίας παρατεθεῖσα μόνον ἐπιτείνει
τὰ τῆς ἀντιδιαστολῆς, ἐμοῦ αὐτοῦ, σοῦ
αὐτοῦ, σοὶ αὐτῷ· τοῖς δὲ ἄρθροις παρακει-
μένη ἐπίτασιν μὲν οὐ σημαίνει, δῖς δὲ ἀναφο-
ράν, ὁ αὐτός, τοῦ αὐτοῦ. πῶς οὖν ἓν
μέρος λόγου; Φήσει τις, καὶ ἡ ἐγώ πολλὴν ἔχει
διαφορὰν πρὸς τὴν ἐμός, καὶ ἓν μέρος λόγου.
B Ἀλλ' ἐμπίπτει εἰς τὸ γενικόν, τὸ ἀντ' ὀνόμα-
τος παραλαμβάνεσθαι, τό τε τὰ πρόσωπα
πάντοτε ὁρίζειν τοῦ κτησαμένου, τὸ οὐσίας
παραστατικὸν εἶναι. τὰ δὲ ἄρθρα οὔτε ἀν-
τ' ὀνόματος, οὔτε ὁρίζει πάντοτε τὰ πρόσωπα,
οὔτε οὐσίαν παρίστησιν· ὥστε οὐκέτι ἐν εἰδικῇ
διαφορᾷ, ἀλλὰ γενικῇ. Σαφὲς δὲ ὅτι καὶ οἱ
ἀπὸ τῆς Στοᾶς αὐτὸ μόνον τῷ αὐτῷ ὀνό-
ματι προσκεχρημένοι εἰσίν, οὐκέτι δὲ καὶ τῷ
πράγματι· καὶ γὰρ ὅτε παραλαμβάνουσιν
C ἕνεκα ὑποδείγματος ἄρθρον τὸ ἐπὶ σώμα-
τος, πολὺ διέστηκε· πόθεν γὰρ ἁρμογή τε καὶ
κῶλον τὸ αὐτό; Ἄμεινον οὖν χωρίζοντας τὸ
μὲν καλεῖν ἄρθρον, καθότι πάντοτε ἐναρμό-
νιον πτωτικῷ, τὸ δὲ καλεῖν ἀντωνυμίαν, ὅτι
ἀντ' ὀνόματος τίθεται. Οὐ γὰρ ἰσωνυμίαν, ὥς
τινες· οὐ γὰρ τὰ ἴσα παρακολουθεῖ τῷ ὀνό-
ματι καὶ τῇ ἀντωνυμίᾳ. τὸ μὲν γὰρ ἀμοιρεῖ
δείξεως, ποιότητά τε ἐπαγγέλλεται· αἱ δὲ

δεῖξιν ἔχουσι μετὰ προσώπων ἀκολουθίας, οὐ- A
σίαν τε μόνον δηλοῦσιν.

Ὁριστέον οὖν τὴν ἀντωνυμίαν ὧδε· λέξιν ἀντ' ὀνόματος προσώπων ὡρισμένων παραστατικήν, διάφορον κατὰ τὴν πτῶσιν καὶ ἀριθμόν, ὅτε καὶ γένους ἐστὶ κατὰ τὴν φωνὴν ἀπαρέμφατος.

Ὅτι μὲν οὖν ἀντὶ ὀνόματος, παντί τῳ δῆλον. Διὰ τί δὲ ἀντ' ὀνομάτων, καὶ ἀντὶ τίνων ὀνομάτων, εἰρήσεται μετ' ὀλίγον. Ὡς δὲ καὶ ὁρίζει τὰ πρόσωπα ῥητέον. B

Πᾶσα ἀντωνυμία ἢ δεικτικὴ ἐστιν ἢ ἀναφορική, αἱ κατὰ πρῶτον καὶ δεύτερον μόνως δεικτικαί, αἱ κατὰ τὸ τρίτον καὶ δεικτικαὶ καὶ ἀναφορικαί, ἐκεῖνος, ὅδε, οὗτος, ὑπεσταλμένης τῆς αὐτός, ἥτις πάλιν δεικτικὴ γίνεται συντασσομένη ταῖς δεικτικαῖς ἀντωνυμίαις. αἱ ὑπολειπόμεναι ἀναφορικαί, ἥ τε ἵ, οὗ, οἵ, ἕ. εἰ οὖν τὰ δεικνύμενα ὁρίζεται, καὶ τὰ ἀναφερόμενα γνῶσιν ἐπαγγέλλεται προϋφεστῶσαν, ὅ ἐστι πάλιν πρόσωπον ὡρισμένον, ὀρθῶς ἄρα ὡρισμέ- C
νων προσώπων παραστατικὴ ἡ ἀντωνυμία. Φήσει τις, τί οὖν; οὐχὶ καὶ τὰ ῥήματα ὁρίζει; Ἀλλ' οὐ πάντα. τὰ γὰρ τρίτα τούτων ἀόριστα. γράφει γάρ, τίς; καὶ περιπατεῖ, τίς; καὶ οὐκ ἄλλως ὁρισθήσεται ἢ ταῖς ἀντωνυμίαις, γράφει ἐκεῖνος, γράφει ὅδε. Ἀλλ' ἴσως καὶ τὰ κύρια ὁρίζει, μάχεται Αἴας, περιπατεῖ Δίων. Ἀλλὰ καὶ ταῦτα ὑπὸ

τῆς ὁμωνυμίας πολλάκις ἀμφιβάλλεται. ὁρίζε- A
ται γοῦν ἐν τῷ

ἀλλὰ περ οἷος ἴτω μέγας Τελαμώνιος Αἴας

διὰ τῆς ἐπιφορᾶς τοῦ Τελαμώνιος. πῶς οὖν τὸ ὁριζόμενον ὑπὸ ἑτέρου ὁριστικὸν ἔτι κεκλήσεται; ἡ μέντοι ἀντωνυμία οὔτε ἀναφορικῶς νοουμένη οὔτε δεικτικῶς παραλαμβανομένη ἀμφιβάλλεται. Ἴσως τισὶ δόξει τὸ

κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος

ἀντικεῖσθαι. οὔτε γὰρ δεικτικόν, οὔτε ἐπί τι
B ὁριζόμενον ἀναφέρεται. Ἀλλ' ἡ ἀναφορὰ ὡς ἐπί τι πρόσωπον πάντως ἐσόμενον λαμβάνεται, ὅπερ εὐφημιζόμενος προληπτικῶς ἀνεφώνησεν. Ἀλλὰ μὴν καὶ τὸ

οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος

τοῖς αὐτοῖς ἐγκλήμασιν ὑποπίπτει. Ἀλλ' ἡ ὑπερβολὴ τῆς πρὸ ὀλίγου ἀποστάσεως διὰ τῆς ἀντωνυμίας ἐπεδείκνυτο, ὡς εἰ ἔλεγεν ὁ ἔτι ὑπὸ τὴν ὄψιν μου ὤν.

Ὅτι δὲ κατὰ πτῶσιν καὶ ἀριθμὸν διάφο-
C ρος ἡ ἀντωνυμία, δῆλον ἐντεῦθεν. Ποία γὰρ ἀκολουθία τῆς ἐγώ πρὸς δυϊκὸν τὸ νῶϊ, ἢ τῆς νῶϊ πρὸς τὸ ἡμεῖς; καίτοι καθολικοῦ ὄντος τοῦ τὰ δυϊκὰ ἐν παντὶ πτωτικῷ διὰ τοῦ αὐτοῦ συμφώνου ἐκφέρεσθαι τῷ ἰδίῳ πληθυντικῷ. καὶ οὐκ ἀντίκειται τὰ δυϊκὰ ἄρθρα· ἰδοὺ γὰρ Δωριεῖς τοί καὶ ταί, ἀφ' οὗ τὸ τώ δυϊκὸν καὶ τά. τὸ γοῦν μεγάλοι, ἑτερόπτωτον ὂν τοῦ μέγας, ὀρθῶς ἐπὶ τοῦ δυϊκοῦ τὸ λ ἐφύλαξε,

καλῶ καὶ μεγάλω σὺν τεύχεσιν. A
Ἔτι γε μὴν ἡ ἐμοῦ πρὸς τὴν ἐγώ ἀντίκειται, πρός τε τὴν δοτικήν, εἴγε πᾶσα γενικὴ ἰσοσύλλαβος ὁμοτονεῖ τῇ δοτικῇ, ἀλλ᾽ ἡ μὲν ἐμοί ὀξύνεται, ἡ δὲ ἐμοῦ περισπᾶται. οὐδεμία αἰτιατικὴ ἐνικὴ εἰς ᾱ λήγει· ἀνακόλουθος ἄρα ἡ ἐμέ. οὐδεμία δοτικὴ μακροκατάληκτος ὀξύνεται· πῶς οὖν ἡ ἐμοί καὶ ἡ σοί; ἀλλ᾽ οὐδ᾽ ὅλως δοτικὴ μονοσύλλαβος ὀξύνεται, πᾶσαι δὲ περισπῶνται, μνᾷ, γῇ· πῶς οὖν ἡ σοί; οὐδὲν δυϊκὸν εἰς μόνον ῑ λήγει· πῶς οὖν νῶϊ καὶ B
σφῶϊ; εἴ τι εἰς ῶ λήγει, θηλυκόν ἐστι· πῶς οὖν ἐγώ; τὰ εἰς ῡ ἢ ῑ οὐδέτερα, δόρυ, μέλι· πῶς οὖν σύ, ἴ ἐπὶ τῶν τριῶν γενῶν; Τὸ δὲ λέγειν, αἱ μονοσύλλαβοι γενικαὶ εἰς ῡν λήγουσαι προσθέσει τοῦ σ εὐθεῖαι γίνονται, καὶ διὰ τοῦτο τὸ σοῦ πάλιν ἀνακόλουθον, εὐηθες· ἰδοὺ γὰρ τὸ τοῦ. ἀλλ᾽ εἰ λέγοι τις ἐπ᾽ ὀνομάτων, οὐδὲ τὸ σοῦ ὄνομα. ἄμεινον οὖν οὕτω τὰ εἰς δίχρονα συνεσταλμένα λήγοντα οὔποτε ἰσοσυλλαβεῖ· πῶς οὖν ἀπὸ τοῦ σύ τὸ σοῦ; C
Μυρίοις ἔστιν ἐπιχειροῦντα κανόσι δεῖξαι, ὡς οὐκ ἀκόλουθοί εἰσιν αἱ ἀντωνυμίαι, θέματα δὲ ἴδια κατὰ ἀριθμὸν καὶ πρόσωπον καὶ πτῶσιν.

Πρόσκειται δέ, ὅτε καὶ κατὰ φωνὴν γένους εἰσὶν ἀπαρέμφατοι, διὰ τὰς καλουμένας παραγώγους, ἐπεὶ αὗται διὰ τῆς φωνῆς τὸ ἔξωθεν πρόσωπον διαστέλλουσι, καὶ διὰ τοῦτο ἀκό-

A λουθοι κατὰ ἀριθμὸν καὶ κατὰ πτῶσιν. αἱ μέντοι πρωτότυποι διὰ μὲν τῆς φωνῆς γένους ἀδιάστολοί εἰσι πάντοτε κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον, διὰ δὲ τῆς ὑπ᾽ αὐτῶν δείξεως ἡ τῶν γενῶν διαστολὴ παρεμφαίνεται· συνεξηγούμενον γὰρ ἔχει τὸ γένος ἡ δεῖξις. ὅθεν καὶ μοναδικαὶ καλοῦνται, ἐπεὶ διὰ μιᾶς φωνῆς ἡ τριγένεια παρίσταται· τὸ γὰρ ἐγώ καὶ σύ ἐπὶ παντὸς γένους. Νοητέον μέντοι, ὅτι καὶ αἱ παραχθεῖσαι πάλιν κατὰ τὸ ἐντὸς πρόσωπον
B ἀνακόλουθοι τοῖς τε ἀριθμοῖς καὶ ταῖς πτώσεσίν εἰσιν· ἐμός γὰρ καὶ νωΐτερος, ἡμέτερος. ποία γὰρ ἀπολουθία τοῦ ἐντὸς προσώπου ἐν τῷ νωΐτερος καὶ ἡμέτερος;

Αἴτιον παραλαμβάνουσι τῆς ἀκλισίας τὸ πᾶσαν λέξιν, τῶν τριῶν οὖσαν γενῶν παραστατικήν, ἄκλιτον φυλάσσεσθαι, καὶ τοῦτο τεκμηριοῦνται ἐκ τῶν ἀριθμῶν. ἐπεὶ γὰρ τὸ τέσσαρες καὶ τρεῖς οὐ μιᾷ φωνῇ χρῆται κατὰ τῶν τριῶν γενῶν — τέσσαρα γὰρ καὶ τρία —,
C διὰ τοῦτο κλίνεται, τεσσάρων καὶ τέσσαρσι· τὸ μέντοι πέντε καὶ τὰ τοιαῦτα, μοναδικὰ ὄντα κατὰ τῶν τριῶν γενῶν, ἄκλιτα. καὶ διὰ τοῦτο τὸ δυοῖν κλιθὲν ἠλογήθη, τοῦ δύο μοναδικοῦ καθεστῶτος. τὸ γὰρ σώφρονε καὶ τὸ φιλιάτρω οὐκ ἀντέκειτο· ἡ γὰρ τούτων ἐνικὴ ἐκφορὰ καὶ πληθυντικὴ οὐ τὰ τρία γένη ἐδήλου. ὅθεν καὶ τὰς ἀντωνυμίας τὸ αὐτὸ ἀναδέχεσθαι. ὅπου γὰρ εἰσι μοναδικαί, ἐκεῖ

καὶ ἄκλιτοι· ὅπου δὲ τὸ γένος διαστέλλεται, A
ἐκεῖ καὶ ἡ κλίσις. Ὑπολαμβάνω δ' εὐλόγως
τὰς πτώσεις τῶν τοιούτων σεσιγῆσθαι, συν-
εξητασμένας τῇ τοῦ γένους συγχύσει. τούτῳ
γὰρ τῷ λόγῳ τὰ τῶν τριῶν γενῶν διακριτικὰ
ἀκώλυτον ἔχει καὶ τὴν εἰς τὰς πτώσεις μετά-
βασιν.

Τὸ λέγειν, ὡς τῇ μὲν ἐμέο ἀκόλουθος
ἡ ἡμέων, τῇ δὲ ἐμοῦ ἡ ἡμῶν, καθὸ αἱ γενικαὶ
πληθυντικαὶ ἰσοσυλλαβοῦσι ταῖς ἑνικαῖς, λη-
ρῶδες. οὔτε γάρ, εἰ ἦν ἀκόλουθος, τὸ ἓν τὰ B
πλείονα ἐκανόνιζεν, οὔτε ἔστιν ἀκόλουθος· τὰ
γὰρ ἐναντία ἐστίν. ἡ μὲν γὰρ δασύνεται, ἀπὸ
τοῦ ἡ ἀρχομένη, ἡ δὲ ψιλοῦται, ἀπὸ τοῦ ε.
τί δ' ἂν φήσαιεν ἐπὶ τῆς σέο καὶ ὑμέων, οὐ-
δεμιᾶς ἔτι ἀφορμῆς οὔσης; Οὐχ ὑγιὲς δὲ κἀ-
κεῖνο. ἐπεὶ γάρ φασιν ἀπὸ τοῦ ε ἄρχονται πᾶ-
σαι ἐπὶ τοῦ πρώτου, ἀκολουθίας ἐχόμεναι, ἡ
φύσις ἐν τοῖς τέλεσιν οὐδέποτε ποιεῖ σύγχυσιν.
τί δὲ οὐχὶ πάλιν τὰ δυϊκὰ καὶ τὰ πληθυντι-
κὰ ἀπὸ τοῦ ε ἄρχεται; Δῆλον οὖν ὡς μόνον C
ἕνεκα σημαινομένου γενικὴν φαμεν τὴν ἐμοῦ
τῆς ἐγώ, καὶ ἔτι δυϊκὴν τὴν νῶϊ, εἴγε καὶ
ἐν ὀνόμασιν ἑτερόπτωτα, ὕδωρ ὕδατος, μέ-
γας μεγάλου, καὶ ἐν ῥήμασιν ἑτερόκλιτα,
ἔσθω ἔφαγον, φέρω οἴσω.

Εἰ αἱ σύνθετοι τῶν λέξεων διηνεκὲς ἔχουσι
τὸ σημαινόμενον, καθάπερ ὁ μισάνθρωπος,
ὁ φιλάνθρωπος καὶ φιλοπλάτων, πῶς οὐ γε-

A λοῖοι οἱ συνάρθρους καὶ ἀσυνάρθρους ἀποφαι-
νόμενοι τὰς ἀντωνυμίας; καὶ γὰρ αἱ καλού-
μεναι σύναρθροι, πρόσωπα ἔχουσαι δεικτικά,
δεκτικαὶ οὐκ εἰσὶν ἄρθρων, καθάπερ ἐπὶ τοῦ
ἐμὸς εἶ καὶ ἡμέτερος εἶ· οὔτε αἱ ἀσύναρ-
θροι ἐκτός εἰσιν ἄρθρων. Ἀττικοὶ γοῦν τὸν
ἐμέ· Καλλίμαχος

ναὶ μὰ τὸν αὐτὸν ἐμέ·

καὶ

τὸν σὲ Κροτωπιάδην·

B καὶ Μένανδρος ἐν Ὑμνιδι

. . . . . νῦν δὲ κατὰ πόλιν
εὕρηκε τὸν ἕτερον, τὸν σέ, τὸν ἐμὲ τουτονί.

ἀλλ' εἰ καὶ ταῦτα παράλογον ἔχει τὴν σύντα-
ξιν, ἀλλ' οὖν γε τοῖς ὑποτακτικοῖς συντάσσον-
ται, ἐγὼ ὃς ἔγραψα, ἐμὲ ὃν ἐτίμησας.
τί οὖν οὐ μᾶλλον ἀπὸ τῶν ὑποτακτικῶν ἄρθρων
σύναρθροι εἰρήσονται, ἥπερ ἐκ τῶν προτακτι-
κῶν ἀσύναρθροι; καὶ ἀνάπαλιν ἡ ἐμός καὶ σός
καὶ αἱ παραπλήσιοι, οὐ προσλαμβάνουσαι
C ὑποτακτικὰ ἄρθρα, ἀσύναρθροι εἰρήσονται· οὐ
γὰρ συστατὸν τὸ λέγειν ἐμὸς ὃς ἔδρασεν, εἰ
μὴ προσθείημεν τὸ δοῦλος, οὗ ἐστὶ τὸ ἄρθρον.
ἀμέλει γοῦν καὶ οὕτως φαμέν, δοῦλος ὃς
ἔδρασε. τί δ' οὐχὶ μᾶλλον ἐκ τοῦ πρὸς τὸ
δεύτερον πρόσωπον, λέγω δὲ τοῦ ἐμὸς εἶ, ἀσύν-
αρθροι ῥηθήσονται, ἥπερ ἐκ τῶν κατὰ τὸ τρί-
τον, τοῦ ἐμός ἐστιν;

Ἐδείχθη ἄρα ὡς ἡ ἐπ' αὐταῖς κλῆσις

διέψευσται, εἰς τὰ ἐναντία περισταμένη. οὐκ
A οἶμαι δὲ ἄκαιρον γενήσεσθαι τὸ καὶ τὸν λόγον
τῆς ἀσυνταξίας παραθέσθαι. Ἡ τῶν ἄρθρων
σημασία ἀλλοτρία δείξεως καθέστηκεν, ἐπαγ-
γέλλεται δὲ ἀναφοράν, ὅ ἐστιν ἀναπολούμενον
πρόσωπον. ὀρθῶς οὖν τῶν πρωτοτύπων, δεῖ-
ξιν σημαινουσῶν, κατὰ πρόταξιν ἀμοιρεῖ, καθ' ὑ-
πόταξιν δὲ οὐκέτι, ἐγὼ ὃς ἐποίησα· ἀνα-
πολεῖ γὰρ ἐπὶ τὴν ἐγὼ προϋφεστῶσαν. Ἔστι
καὶ οὕτως εἰπεῖν. αἱ ἀντωνυμίαι τοῖς πύσμασιν
ἀνθυπαγόμεναι γνῶσιν πρώτην ἐπαγγέλλον-
B ται — τίς ἔγραψεν; ἐγώ ἢ ὅδε —, τὰ δὲ
ἄρθρα δευτέραν γνῶσιν σημαίνει, ἄνθρωπος
ἦλθεν, ὁ ἄνθρωπος ἦλθεν· πλοῖον
ἦλθε, τὸ πλοῖον ἦλθε, τὸ καὶ πάλαι γι-
νωσκόμενον. πῶς οὖν δυνατὸν τὸ ἄρθρον προ-
τάσσεσθαι τῆς πρώτης δείξεως; ἀκωλύτως
γὰρ ὑποταγήσεται, ἀναπολοῦν τὰ ἐπὶ τὴν προ-
κειμένην δεῖξιν, ἐμὲ ὃν ἐτίμησας. Μαρτυ-
ροῦσι τῷ λόγῳ αἱ παράγωγοι. δεικνύουσαι
μὲν γὰρ τὸ κτῆμα ἀπρόσληπτοί εἰσιν ἄρθρων,
C ἐμὸς εἶ, ἡμέτερος εἶ· ὑπὲρ δὲ ἀπόντος τοῦ
κτήματος ἀναπολοῦσιν ἐπὶ τὴν προκειμένην
γνῶσιν, ὁ ἐμός ἐστι φίλος, ὁ ἡμέτερός
ἐστιν οἰκέτης. τούτῳ τῷ λόγῳ τὸ ὦ ἐπὶ
κλητικῆς δείκνυται, ὡς οὐ τῆς ἐννοίας τῶν ἄρ-
θρων ἔχεται.

Ῥητέον δὲ καὶ ὑπὲρ τῶν ὑποτακτικῶν, ὡς
ταῖς κτητικαῖς οὐ συντάσσονται. Ἔφαμεν δὴ
τὸ

A τὸ ἄρθρον παραλαμβανόμενον γνῶσιν προϊοῦ-
σαν ἐπαγγέλλεσθαι, τὰ δὲ κτητικὰ ἐλλιπῆ
ἐστὶ τοῦ, ἐφ' ὃ φέρεται ἡ κτῆσις, προσώπου·
τὸ γὰρ Ἀριστάρχειος καὶ ἐμὸς ἄγνωστα κα-
τὰ τὴν κτῆσιν. πῶς οὖν τὸ γνῶσιν ἐπαγγελ-
λόμενον ἐπὶ τὴν ἐλλιπῆ προσώπου δεῖξιν ἀνε-
νεχθήσεται;

Ἐπιστατέον δὲ καὶ ἐκείνῳ τῷ λόγῳ, εἰ ὅλως
τῶν προτακτικῶν ἄρθρων ἐπιδεκτικαί εἰσιν αἱ
ἀντωνυμίαι, τουτέστιν ἐν τῷ ὁ ἐμός εἰ τὸ ὁ τῆς
B ἀντωνυμίας ἐστὶν ἢ τοῦ ὑπακουομένου κτήμα-
τος. Τὸ δὴ ἐντὸς πρόσωπον νοούμενον, τουτέ-
στι τὸ τοῦ κτήτορος, τὴν ἀντωνυμίαν ἐπαγ-
γέλλεται, εἴγε τὴν τῶν πρώτων προσώπων με-
τάβασιν ὁρίζει· τὸ δὲ ἐκτός, τουτέστι τὸ κτῆ-
μα, οὐκέτι. ἐμός γὰρ καὶ σός, καὶ ζητοῦμεν
τίς; οἶκος ἢ δοῦλος ἢ ἵππος; ἀόριστον οὖν τὸ
τοιοῦτον. καὶ τοῦτο δῆλον ἐκ τοῦ τὰ ἄρθρα
συνοικειοῦσθαι τοῖς κτήμασιν, εἴγε τὸ ἡμέτε-
ρος, πληθυνόμενον κατὰ τὸ ἐντός, ἐνικὸν ἄρ-
C θρον προσπαραλαμβάνει, ὅτι καὶ τὸ κτῆμα
ἐνικόν, καὶ ἀνάπαλιν τὸ ἐμοί, ἐνικὸν ὂν κατὰ
τὸν κτήτορα, πληθυντικὸν δὲ κατὰ τὸ κτῆμα,
πληθυντικὸν ἄρθρον λαμβάνει· καὶ καθόλου
ἐπὶ πάντων ταὐτὸν ἂν γένοιτο. πρὸς τούτοις
τὸ ὁ ἐμὸς πατήρ μεταλαμβάνεται εἰς τὸ ὁ
πατήρ μου· ὁμόλογος οὖν ἡ ἐπὶ τὸ κτῆμα
ἀναφορὰ τοῦ ἄρθρου. Διαψεύδεσθαι δέ φασι
τὸν λόγον· εἶναι γὰρ ἴδιον ἄρθρον τῆς ἀντωνυ-

μίας καὶ ἴδιον τοῦ κτήματος. τὸ γοῦν ὁ πα- A
τὴρ ὁ ἐμὸς φιλοσοφεῖ ἑκατέρῳ ἀπένειμε
τὸ ἄρθρον, ὅπερ οὐκ ἂν παρηκολούθει, εἰ μὴ
καὶ ἡ ἀντωνυμία εἶχε τὸ ἄρθρον. ἐπεὶ εἰ ταὐ-
τὸν ἦν ὁ ἐμὸς πατὴρ καὶ ὁ πατὴρ ὁ ἐμός, κἂν
πάντως μετατιθέμενον τὸ αὐτὸ σημαινόμενον
ἐφύλαττεν, ὅπερ οὐ φυλάσσει· ὁ πατὴρ γὰρ
ὁ ἐμὸς τουτέστιν οὐκ ἄλλου, ἐν δὲ τῷ ἑτέρῳ
οὐκ ἄλλος. Οὐ πάνυ δὲ ἰσχυρὰ τὰ λεγόμενα.
οὐ γάρ, ἐπεὶ μετατεθέντα τὰ ὀνόματα μετήλ-
λαττε τὰ σημαινόμενα, εὐθέως καὶ οὐ τῶν B
ὀνομάτων τὰ ἄρθρα. ὁμολογούμενόν ἐστιν ἐν
τῷ ὁ ἐχθὲς ἄνθρωπος, τοῦ ἐχθὲς ἀνθρώπου,
ὁ νῦν ἄνθρωπος, τοῦ νῦν ἀνθρώπου, ὡς τὰ
ἄρθρα τῶν ὀνομάτων καὶ οὐ τῶν χρονικῶν
ἐπιῤῥημάτων, εἴγε καὶ συσχηματίζεται καὶ εἰς
τοὺς ἀριθμοὺς καὶ τὰς πτώσεις. ἀλλὰ ταῦτα
μετατεθέντα διακρούεται τὸ σημαινόμενον· τὸ
γὰρ χθὲς ὁ ἄνθρωπος ἢ νῦν ὁ Πτολεμαῖος
καὶ τὰ παραπλήσια οὐκέτι πλῆθος ἐπαγγέλ-
λονται, ἀλλ' ἕνα καὶ τὸν αὐτόν, καιροῦ μόνον C
μεταβολὴν ἀναδεξάμενον. τί οὖν τὸ παράδοξον,
εἰ καὶ τὸ ὁ ἐμὸς πατὴρ διαφέρει τοῦ ὁ πατὴρ
ὁ ἐμός; Ἀλλὰ καὶ τὰ δύο ἄρθρα ὡμολόγη-
σεν, ὅτι τῆς ἀντωνυμίας ἐστὶ τὸ ἄρθρον. Καὶ
τοῦτο εὐαπόλυτον, εἴγε ἀπειράκις κατὰ μιᾶς
εὐθείας δύο ἄρθρα παραλαμβάνεται. φαμὲν
γοῦν ὁ δοῦλος ὁ τοῦ Ἀριστάρχου, ὁ παῖς ὁ
τοῦ βασιλέως, καὶ δῆλον ὡς κατὰ τῆς εὐθείας

A τὰ δύο ἄρθρα· ἡ γὰρ γενικὴ ἀπέλαβε τὸ
ἴδιον. ἦν δὲ τὸ μὲν κατ' ἀρχὴν ἀναφορὰν δη-
λοῦν, τὸ δὲ ἑξῆς ὡς οὐχ ὁ ἄλλου. ἀμέλει γέ
τοι ἔστι, μεταλαμβάνοντα ἐπὶ τρίτου προ-
ώπου γενικὴν πτῶσιν, φάναι ὁ πατὴρ ὁ ἐκείνου,
ὁ φίλος ὁ τούτου, τοῦ ὁ πάλιν ἀναφερομένου
ἐπὶ τὸ ὁ πατήρ. πόθεν γὰρ ὅτι ἐπὶ τὸ ἐκεί-
νου καὶ τούτου, εἴγε καὶ σύναρθροι καὶ κατὰ
γενικῆς πτώσεως; πρὸς τούτοις ἀπεδείχθη,
ὡς τὰ ἄρθρα ἀποφεύγει τὰς δείξεις. πῶς οὖν
B ἐν τῷ ἐντὸς προσώπῳ, δεικτικῷ ὄντι, ὅπερ
ἐστίν, ὡς προείρηται, ἡ ἀντωνυμία, ἄρθρον ἔτι
προσελεύσεται, ὅτε οὐδὲ τῷ ἐκτὸς ὑπακουο-
μένῳ, ὅτε ἐπὶ δείξεως λαμβάνεται, ἐμὸς εἶ
φίλος, ἡμέτερος ὑπάρχεις οἰκέτης; Χρὴ
ἄρα καλεῖν, καθάπερ καὶ ὁ Τρύφων, πρωτοτύ-
πους τήν τε ἐγὼ καὶ τὰς ὑπολοίπους, ὅτι οὐκ
ἀπ' ἄλλων· παραγώγους δὲ καὶ κτητικὰς τὴν
ἡμέτερος καὶ νωίτερος, ὅτι ἀπὸ τῶν πρωτοτύ-
πων τὴν γένεσιν ἔχουσι, κτῆσιν τε δηλοῦσιν,
C ἀπὸ γενικῶν παραγόμεναι καὶ εἰς γενικὴν με-
ταλαμβανόμεναι, καθάπερ καὶ τὰ κτητικὰ τῶν
ὀνομάτων.

Οὐχ ὑγιές τε λέγειν, ὅτι τὰ ἄρθρα οὐ
προστίθεται ταῖς ἀντωνυμίαις, ὅτι ἐν τοῖς γέ-
νεσιν ἀδιάστολοί εἰσιν. ἐκ γὰρ τοῦ ἐναντίου
ἐχρῆν, ἵνα διασταλῇ τὸ γένος· ταῖς τε τὸ γέ-
νος διαστελλούσαις ἔδει μὴ προστίθεσθαι· ἀρ-
κετὴ γὰρ ἡ δεῖξις, δηλοῦσα τὸ γένος. Πρὸς

τούτοις ἰδοὺ γένος σημαίνει ἡ ἐκεῖνος καὶ οὗ- A
τος, καὶ ἄρθρον οὐκ ἐπιδέχονται. οὐδὲ γὰρ
ἕνεκα διαστολῆς παραλαμβάνεται, ἐπεὶ οὐδὲ
αὐτὰ διαστέλλει, συνεμπεσόντα τοῖς γένεσι· τὸ
γὰρ τῶν ἄρθρον τῶν τριῶν γενῶν ἐστὶ παρα-
στατικόν, τό τε τοῦ ἀῤῥένικῶν καὶ οὐδετέρων.
ὡς ἐδείχθη οὖν, ἀναφορικὰ ὄντα τὰς συντά-
ξεις ἀποφεύγει.

Διπροσώπους τὰς κτητικὰς ὁ Δράκων ἐκά-
λει, καθὸ δύο πρόσωπα νοεῖται, τοῦ τε κτή-
τορος καὶ τοῦ ὑπακουομένου κτήματος· μονο- B
προσώπους δὲ ἢ ἁπλᾶς τὰς πρωτοτύπους·
ἅπαξ γὰρ ἑνικαί τε δυϊκαί τε πληθυντικαί τε
νοοῦνται, αἱ δὲ δὶς ἑνικαὶ ἐν τῷ ἐμός, δὶς δυϊ-
καὶ ἐν τῷ νωϊτέρω, δὶς πληθυντικαὶ ἐν τῷ
ἡμέτεροι. καὶ καθόλου ἐπὶ τῶν ἀριθμῶν ποι-
κίλαι εἰσί. Καὶ ἐν ἄλλοις δὲ ὁρῶνται διαφέ-
ρουσαι. αἱ πρωτότυποι καὶ ἐγκλίνονται, αἱ δὲ
οὔ. ἀκολουθίας ἔχονται αἱ κτητικαὶ κατὰ κλί-
σιν καὶ ἀριθμὸν ἐν τοῖς τέλεσιν, αἱ δὲ πρωτό-
τυποι οὐκέτι. αὐτοτελεῖς μετὰ ῥημάτων αἱ πρω- C
τότυποι τῆς εὐθείας, ἐκεῖνος γράφει, ἔγρα-
φον ἐγώ, αἱ δὲ οὔ. καὶ αἱ μὲν τὸ γένος κατὰ
πᾶν πρόσωπον δηλοῦσι τοῦ κτήματος, αἱ δὲ
πρωτότυποι κατὰ πρῶτον καὶ δεύτερον γένους
ἀπαρέμφατοι· αἱ γὰρ κατὰ τὸ τρίτον οὐκέτι,
αἵ γε συνήθεις· αὐτός γὰρ καὶ ἐκεῖνος. καὶ αἱ
μὲν ταῖς εὐθείαις ἀνθυπάγονται, αἱ δὲ κτητι-
καὶ καὶ ἀντὶ γενικῆς τῶν κτησαμένων· ἀντὶ

A γὰρ τοῦ Ἀπολλώνιος ἐγώ, ἀντὶ δὲ τοῦ Ἀπολ-
λωνίου παῖς ἐμὸς παῖς.

Ὃν τρόπον ἐπὶ τῶν ἀριθμῶν ἡ μετὰ τὸν
δυϊκὸν αὔξησις πληθυντικὴ καλεῖται, Αἴας
γὰρ καὶ Αἴαντε καὶ Αἴαντες, καὶ μάχομαι
καὶ μαχόμεθον καὶ μαχόμεθα, ἐγώ τε
καὶ νῶϊ καὶ ἡμεῖς, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ
τῶν προσώπων τὸ μετὰ τὸ δεύτερον τρίτον κα-
λεῖται, κἂν ἐν πλείοσι νοῆται προσώποις· γρά-
φει γὰρ καὶ περιπατεῖ. παρὸν δὲ καὶ ἐπὶ
B τῶν ἀριθμῶν πιστώσασθαι τὸν λόγον καὶ
ἐκ τῆς φωνῆς, ὡς οὐκ ἄλλο τι ἐπενοήθη σχῆμα
φωνῆς μετὰ τὸ δυϊκὸν ἢ μόνον τὸ πληθυντι-
κόν· τὸ γὰρ λέγουσιν οἱ ἄνθρωποι ἢ ἡμεῖς
ἐπὶ παντὸς ἀριθμοῦ τάσσομεν. ἐπὶ μέντοι τῶν
ἀντωνυμιῶν κατὰ τρίτα καὶ πλείονες αἱ φωναὶ
ἐσχηματίσθησαν, εἴγε ἐκεῖνος, ὅδε, οὗτος, αὐ-
τός, ὁδί, ὁ δεῖνα. καὶ μήποτε εὐλόγως. εἰ γὰρ
παρὰ τὰ ἄλλα μέρη τοῦ λόγου ἐν προσώποις
ὥρισται, ὀρθῶς ἄρα καὶ ἡ ἐν τοῖς τρίτοις προς-
C ώποις διαφορὰ διήρθρωται, δείξει μὲν ὡς
ἐκεῖνος, ἀπουσίᾳ δὲ ὡς αὐτός, καὶ ἔτι ἐν δια-
στήματι· τὸ μὲν γὰρ οὗτος ἐγγύτητα σημαί-
νει προσώπου, τὸ δὲ ἐκεῖνος διάστημα. ἀλλὰ
μὴν καὶ τῶν κτητικῶν πλείονα τρίτα ἔστιν ἐπι-
δεῖξαι. ἐν γὰρ τῷ ἐμός ἐστι πρώτου πρὸς
τρίτον, καὶ ἔτι ἐν τῷ σός ἐστι δευτέρου πρὸς
τρίτον· καὶ σαφὲς ὡς ἐν τῷ ὅς δύο τρίτα, ἐξ
ὧν τὸ κτῆμα κἂν μὴ ὁρίζηται, οὐ μάχεται·

ἐδείκνυτο γὰρ ὡς οὐκ ἀντωνυμία. καὶ ἐπὶ πλη- A
θυντικῶν σφέτεροι πολλὰ τρίτα.

Ἡ μὲν ἐν τοῖς ὀνόμασι παραγωγὴ εἶδος καλεῖται· εἴδει γὰρ παραπλήσιόν τι παραδέχεται κατὰ τὴν ἑτεροίωσιν τοῦ τέλους, δι' οὗ γνωρίζεται. ἡ δὲ ἐν τοῖς ῥήμασι καὶ ἀντωνυμίαις μετάβασις ΠΡΟΣΩΠΟΝ· ἐπιτήδειον γὰρ τοῦτο δεῖξιν σωματικὴν καὶ ψυχικὴν διαθέσιν παραστῆσαι. ὀρθῶς οὖν ἡ διορίζουσα λέξις τὰ προκείμενα πρόσωπον ἐκλήθη. Ὅπερ ῥητέον ἐν μὲν τῇ περὶ ἑαυτοῦ ἀποφάσει πρῶτον, εἴγε B
καὶ ἡ ἐν τοῖς ἑξῆς προσώποις ἀπόφασις ἐξ αὐτοῦ γίνεται· ἐν δὲ τῷ πρὸς ὃν ὁ λόγος ὑπὲρ αὐτοῦ, δεύτερον· ἐν δὲ τῇ μήτε προσφωνούσῃ μήτε προσφωνουμένῃ τρίτον. Οὐ γὰρ ὑγιὲς τὸ λέγειν, ὅτι πρῶτον πρόσωπον τὸ ἀποφαινόμενον, καὶ ἔτι δεύτερον τὸ πρὸς ὃν ὁ λόγος, καὶ τὸ τρίτον περί τινος. εἰ γὰρ τὸ πρῶτον πρόσωπον τὰς τρεῖς φωνὰς ἀποφαίνεται, ἐγώ, σύ, ἐκεῖνος, δῆλον ὡς καὶ πρῶτον τὸ λέγον εἰρήσεται, καὶ ἔτι τὸ δεύτερον καὶ τὸ C
τρίτον. ἀλλὰ μὴν καὶ τὸ σύ πρὸς ὃν ὁ λόγος· τί δέ; οὐχὶ καὶ τὸ ἐκεῖνος λέγεται πρός τινα ὑπέρ τινος πᾶν τε πρόσωπόν τέ ἐστι; πῶς οὖν περί τινος μόνον τὸ τρίτον, κοινῆς οὔσης τῆς λέξεως κατὰ πάσης οὐσίας; τὰ γοῦν πληθυντικὰ τοῦ πρώτου προσώπου ἐμπεριεκτικὰ δύναται εἶναι καὶ παντὸς προσώπου, ἅπερ τινά ἐστι. πῶς οὖν μόνα τὰ τρίτα περί τινος; δεῖ

A γὰρ νοεῖν ὡς ἡ ἐν τοῖς ἑνικοῖς προσώποις ἐκφορὰ εἰλικρινῶς πρῶτον ἐπαγγέλλεται πρόσωπον, καὶ ἔτι ἡ ἐπὶ τοῦ δευτέρου δεύτερον· τὸ δὲ ἐπὶ δυϊκοῦ ἢ πληθυντικοῦ σύλληψιν ἀναδέχεται ἑτέρων προσώπων. καὶ τὸ μὲν πρῶτον ἢ μετὰ δευτέρων ἢ τρίτων, ἢ καὶ μετὰ δευτέρων καὶ τρίτων. ὁ γὰρ ἀποφαινόμενος περὶ ἑαυτοῦ καὶ πολιτῶν ἀπόντων, ἡμεῖς ἠριστεύσαμεν, σύλληψιν πεποίηται τρίτων μετὰ πρώτου· ὁ δὲ παρόντων, ἡμεῖς αἴτιοι ἐγενόμεθα,
B πρώτου καὶ δευτέρου, εἴγε πρὸς αὐτοὺς ἀποφαίνεται ὑπὲρ αὐτῶν. ὁ δὲ λέγων ὑπὲρ ἀπόντων πολιτῶν πρὸς πολίτας, ἡμεῖς τῆς μάχης αἴτιοί ἐσμεν, καὶ δευτέρων σύλληψιν ποιεῖται, ἐν ᾧ πρὸς αὐτοὺς ἀποφαίνεται, καὶ τρίτων, ἐν ᾧ ὑπὲρ ἀπόντων διαλέγεται, ὅπερ ἴδιον ἦν τρίτου. τὸ δὲ δεύτερον ἢ καὶ δευτέρων σύλληψιν ἢ καὶ τρίτων. πρὸς μὲν γὰρ πάντας παρόντας ἡ ἀπόστασις δευτέρων σύλληψις, πρὸς δέ τινας μὲν ἀπόντας, τινὰς δὲ παρόντας, ὡς
C εἰ Ἀλέξανδρος πρὸς τοὺς Ἀθηναίων πρέσβεις, ὑμεῖς οἱ Ἀθηναῖοι, δευτέρων καὶ τρίτων. τὸ γὰρ τρίτον πάντοτε ἐν τρίτοις νοεῖται. ἔτι γε μὴν ἐπὶ δυϊκοῦ σύλληψις γεννήσεται, ἀλλ' οὐκέτι ἐν τρισὶ προσώποις, ἀλλ' ἐν δυσί· πόθεν γὰρ τὸ δυάδος παραστατικὸν σύλληψιν τριῶν ποιήσεται; καὶ πρώτου μὲν πρὸς τρίτον,

νῶϊ δ' ἐγὼ Σθένελός τε,

πρὸς δὲ δεύτερον,

πρίν γ' ἐπὶ νῶι τῷδ' ἀνδρί· A

καὶ ἐπὶ δευτέρου δευτέρων,

γυιώσειν μὲν σφῶϊν ὑφ' ἅρμασι,

δευτέρου δὲ καὶ τρίτου,

σφῶϊ μὲν αὖθι.

ἐξηγήσεται γὰρ αὐτὸς παρόντα μὲν τὸν Αἴαντα, ἀπόντα δὲ τὸν Λυκομήδη,

σὺ καὶ κρατερὸς Λυκομήδης.

χρὴ μέντοι κἀκεῖνο προσειληφέναι, ὅτι, κἂν πλῆθος παρεμφαίνηται, οὐ διαπίπτει πάντως ὁ λόγος. πάλιν γὰρ ἕκαστος τῶν φωνούντων σύλ- B
ληψιν ποιεῖται τῶν σὺν αὐτῷ ἀποφαινομένων· ἕκαστος γὰρ τῶν ἐν πλήθει μοῖρα τοῦ ὅλου. αἱ γοῦν ἐπαφαὶ τῶν ὑπερμεγέθων σωμάτων ἀπὸ βραχέος τινὸς μέρους τὸ ὅλον σῶμα δηλοῦσιν. Ὁ δὲ λόγος ἅπας συντείνει καὶπὶ τὰ ῥήματα, τῶν προστακτικῶν εὐλόγως ὑπεσταλμένων. εἰ γὰρ κεχώρισται τὸ προστάσσον τοῦ προστασσομένου, πρῶτον δέ ἐστι τὸ ὑπὲρ αὐτοῦ ἀποφαινόμενον, δῆλον ὅτι περισσὸν ζητεῖν τὸ τούτων πρῶτον πρόσωπον. δεῖ μέντοι νοεῖν, C
ὅτι τὸ

χαζώμεθ' ἐφ' ἵππων,

τό τε

ἄνδρας κτείνωμεν,

καὶ τὰ παραπλήσια ἠθικώτερον ἀναπεφώνηται, τῶν ὑποτιθεμένων ἑαυτοὺς καὶ συλλαμβανόντων· οὐ γὰρ ἄντικρυς προστακτικαὶ αἱ τοιαῦται ἐκφοραί.

A Ἐχομένως σκεπτέον καὶ περὶ τῶν κατὰ κλητικὴν προσώπων, τίνα τέ ἐστιν ἐν πρωτοτύποις, τίνα τε ἐν κτητικαῖς. Εἰ κλητική ἐστι κλῆσις τῶν πέλας, ὀρθῶς οὔτε τὰ πρῶτα κλητικὴν ἔχει τῶν πρωτοτύπων — οὐ γὰρ περὶ αὐτῶν τὸν λόγον ποιεῖται — οὔτε τὰ τρίτα, ἐπεὶ ἢ ἄπεστιν ἀναφορικῶς λεγόμενα, ὡς αὐτὸς καὶ ἐκεῖνος,

κεῖνος ἀνήρ, ὅτ' ἐμεῖο κυνώπιδος εἵνεκ' Ἀχαιοί,

B ἢ δείκνυται ἐν διαστάσει, ὡς ἐν τῷ οὗτος ἐκεῖνος. ὅπερ οὐ προσίεται ἡ κλητική. καὶ τούτου πίστις τὸ τὴν μὲν οὗτος καὶ ἐπί κλήσεως τάσσεσθαι, καθὸ πλησίαζει. ὦ οὗτος, οἴῃ στρατείαν ἐσσεῖσθαι; Σώφρων. Κρατῖνος ἐν Δραπέτισιν·

οὗτος, καθεύδεις; οὐκ ἀναστησεισβοτων;

Ἀριστοφάνης ἐν Σφηξίν·

οὗτος, τί πάσχεις; ὦ κακόδαιμον Ξανθία.

Ἄλλοι δέ τινες ὑπέλαβον ὠλιγωρῆσθαι, ἐπεὶ C ἐπὶ κλητικῆς ἐτέθη. δεῖν γάρ φασι τὴν σύ παρειλῆφθαι· ἐχρῆν τε εἰς ᾱ λήγειν, καθὸ τὰ τοιάδε τῶν πτωτικῶν εἰς ᾱ λήγει κατὰ τὴν κλητικήν· ἔτι γε μὴν τὸ παρὰ Σώφρονι καὶ ἄρθρον προσέλαβεν ἐν τῷ ὦ οὗτος. Πάγυ δὲ εὐηθες τὸ τοιοῦτον. δι' οὗ γὰρ λόγου κανονίζεται τὸ ἐκεῖνος καὶ ἔτι τὸ πόσος καὶ ποῖος ἀμοιρεῖν κλητικῆς, διὰ τούτου κατασκευάζεται ὡς τὸ οὗτος ὀρθῶς ἐπὶ κλητικῆς τετάξεται.

κλητικὴ γὰρ κλῆσις τοῦ πέλας, πέλας δέ ἐστι
A τὸ οὗτος, κλητικῆς ἄρα τεύξεται. προαλὲς δὲ
καὶ τὸ ὦ ἄρθρον παραδέχεσθαι· ἐκπίπτει γὰρ
τῆς τῶν ἄρθρων ἐννοίας. ἄλλως τε διδομένης
τῆς κλητικῆς δοθήσεται καὶ τὸ ὦ. ἴσως δὲ
καὶ Ἀττικῷ ἔθει εἰς ος ἔληξεν ἐπὶ κλητικῆς
ὁμοίως τῷ

δὸς φίλος.

ἄλλως τε ἐδείχθησαν πολλάκις ἀνακόλουθοι
αἱ ἀντωνυμίαι. Ἐπί γε μὴν τῶν κτητικῶν
ἀκωλύτως ἐπὶ τοῦ πρώτου· οὐδὲν γὰρ ἦν ἐμ-
B ποδών, ὥστε τὸν κεκτημένον τὸ κτῆμα προς-
φωνεῖν,

ὦ πάτερ ἡμέτερε Κρονίδη,

παῖδες ἐμοί,

ὦ ἐμαὶ τοῦ ἀπιόντος ἄγκυραι·

οὐκέτι μέντοι ἐπὶ δευτέρου, οὐ καθάπερ τινὲς
ᾠήθησαν διὰ τὸ τὸν ἀριθμὸν διάφορον εἶναι.
ἐνικὸν μὲν γὰρ τὸ κατὰ τὸ τέλος, τουτέστι τὸ
κτῆμα, πληθυντικὸν δὲ τὸ κατὰ τὸ ἄρχον, ὅ
ἐστι τοῦ κτήτορος. πῶς γάρ φασι πληθυντι-
C κὸν καὶ ἐνικὸν ὑφ' ἓν κεκλίσεται; εἰ γοῦν ἰσά-
ριθμα γένοιτο κατ' ἀμφότερα, συστήσεται.
Πρῶτον οὐδεμία χρῆσις· ἔπειτα οὐδὲ λόγος
ἀπαιτεῖ. εἰ γὰρ αἱ κλήσεις οὐ πρὸς κεχωρι-
σμένα πρόσωπα, τὰ δὲ τῶν κτητόρων κεχώρι-
σται τῶν κτημάτων, πῶς οὐχὶ μᾶτην τὰ τῆς
φωνῆς παραληφθήσεται, οὐ δυνάμενα παρα-
ληφθῆναι; ἀμέλει τὰ τοῦ πρώτου, ἀναδεξά-

A μενα τὸν λόγον, καὶ τὴν χρῆσιν ἐπέδειξεν. Εἰ
τὰ τρίτα τῶν κτητικῶν ἀντωνυμιῶν ᾠκείωται
τοῖς κτητικοῖς ὀνόμασι, καθὸ ἀμφότερα δύο
τρίτων παραστατικά, τοῦ τε κτήτορος καὶ τοῦ
κτήματος, οὐδὲν δὲ τὸ κωλῦον φάναι Ἀριστάρ-
χειε, οὐδὲ τὸ σφέτερε ἄρα ἀπόβλητον. Εἰ τὸ
ἡμέτερε κλητικῆς, καὶ τὸ τούτου ἐνικὸν ὑπάρ-
χει, ὅπερ καὶ ἐσχηματίσθη παρὰ τῷ ποιητῇ,

γαμβρὸς ἐμὸς θύγατέρ τε·

ὃν τρόπον ἀπὸ τοῦ γαμβρέ, οὕτως ἂν ἀντὶ
B τοῦ ἐμέ. ὅπερ ἴσως ἀηθες, ἐπεὶ οὔτε συνεχὲς
παρὰ τῷ ποιητῇ, σολοικισμοῦ τε ὑπόφασιν
ἐποιεῖτο διὰ τὸ τῇ ἐμέ αἰτιατικῇ ὁμοφωνεῖν.

Ἀκολούθως σκεπτέον ὑπὲρ τῆς συντάξεως
τῶν ἀντωνυμιῶν, τὸ πρῶτον πότε ταῖς εὐθείαις
αὐτῶν τὰ ῥήματα συνταγήσεται, καὶ πότε οὔ.
ταῖς μὲν γὰρ πλαγίοις πάντοτε, ἐπεὶ αἱ ἀπὸ
τῶν ῥημάτων διαθέσεις ἐπί τινα πλάγιον φέ-
ρονται ἢ ὀνόματος ἢ ἀντωνυμίας ἢ μετοχῆς,
Τρύφωνι ἔδωκας, ἐμοὶ ἐλάλησας, ἐτι-
C μήσας τὸν νικήσαντα· τῆς γὰρ τοιαύτης
συντάξεως οὐκ οὔσης, οὐδ' ἡ ἐπὶ πρόσωπον
μετάβασις νοεῖται. Τινὲς μὲν οὖν ὑπέλαβον
ἐντελεστέραν εἶναι τὴν μετὰ ῥημάτων καὶ ἀν-
τωνυμιῶν φράσιν, εἴγε ἐπ' ἐνίων συντάξεων,
ὑφαιρουμένων τῶν ἀντωνυμιῶν, ἐνδεῆ τὰ τοῦ λό-
γου γίνεται. ἐντελὲς μὲν γὰρ τὸ ἐγὼ μὲν πα-
ρεγενόμην, σὺ δ' οὐ παρέτυχες, ἐλλιπὲς
δὲ τὸ παρεγενόμην μέν, οὐ παρέτυχες

δέ. Ἐγὼ δὲ οὐκ οἶμαι τὰς τοιαύτας φράσεις Α
ἐλλιπεῖς εἶναι τῶν ἀντωνυμιῶν, ὅπου διὰ ῥημάτων κατὰ τὸ πρῶτον πρόσωπον καὶ δεύτερον ἡ τῶν ῥημάτων παράθεσις ἀναπληροῖ τὴν τῶν προσώπων μετάβασιν, περισσὸν μέντοι τὴν παράθεσιν ὑπολαμβάνω, εἰ μὴ διαστολῆς ὁ λόγος χρῄζοι. τὸ γὰρ

ἤομεν ἀχνύμενοι

καὶ τὸ

ἤμβροτες οὐδ' ἔτυχες

καὶ σχεδὸν ὅλη ἡ χρῆσις τοῦ βίου, πλήρης Β
οὖσα τῆς τοιαύτης συντάξεως, δόξειεν ἂν ἐλλείπειν. πέφυκε γὰρ ἡ μὲν τῶν ῥημάτων ἐκφορὰ μετὰ προσώπου τοῦ κατὰ τὴν εὐθεῖαν καὶ πρᾶγμα δηλοῦν, ἡ δὲ τῶν ἀντωνυμιῶν αὐτὸ μόνον πρόσωπον καί, εἰ δέοι, διαστολήν. ὅταν οὖν τὰ ῥήματα παρατεθῇ, περισσόν ἐστι τὰς ἀντωνυμίας λαμβάνειν τῆς εὐθείας, εἴγε, δι' ὃ παρετίθεντο, ἀνεπληροῦτο διὰ τῶν ῥημάτων. τοῦ μέντοι λόγου δεομένου ἀντιδιαστολῆς, καὶ τῶν ῥημάτων μὴ δυναμένων ἔτι τοῦτο ἀνα- C
πληρῶσαι, ἐξ ἀνάγκης παραλαμβάνονται αἵ τε κατὰ τὸ πρῶτον καὶ αἱ κατὰ τὸ δεύτερον, ἡμεῖς κατέβημεν, ἐγὼ ἐθεασάμην, καὶ ἐπὶ τῶν ὀνομάτων. τούτῳ δὲ τῷ λόγῳ καὶκεῖνο ἀσύστατον καθειστήκει· αἰρομένων γὰρ τῶν ἀντωνυμιῶν διαστολῆς εἶχε χρείαν ἡ συστολὴ τῆς φράσεως, ἐγὼ μὲν παρεγενόμην, σὺ δὲ οὐ παρέτυχες. Ἐπὶ τρίτου οὐ συντείνει

Α τὰ τοῦ λόγου. πάντοτε γὰρ δεῖ τῷ τρίτῳ τὴν ἀντωνυμίαν ἢ τὸ ὄνομα ἐπιφέρεσθαι, δι' οὗ τὸ λειπόμενον ἀναπληρωθήσεται. γράφει γάρ· τίς ἐπιζητοῦμεν, καὶ ἐν διαστήματι ἐκεῖνος, ἐν δὲ ἐγγύτητι οὗτος, ἢ ἐν ἀναφορᾷ αὐτός, ἢ ἐν ὀνόματι, περιπατεῖ Σωκράτης. οὐκ ἀντίκειται τὸ ὕει ἢ βροντᾷ ἢ ἀστράπτει, αὐτοτελῆ ὄντα· ὑπακούεται γὰρ πάντως ὁ Ζεύς, εἴγε αὐτοῦ ταῦτα ἴδια. χρὴ δὲ γινώσκειν, ὅτι ἐπὶ τῶν τοιούτων φράσεων λείπουσιν αἱ ἀντω-
Β νυμίαι,

αὐτὸς ἐκὼν οἱ δῶκα,

αὐτὸς νῦν ἰδὲ πῶμα.

εἰ γὰρ ἡ αὐτός ταῖς ἀντιδιαστελλομέναις συντάσσεται, τὰ δὲ ῥήματα οὐ διασταλτικά, ἀπόλυτα δὲ πρόσωπα σημαίνει, πῶς οὐχὶ ἐξ ἀνάγκης τὸ τῆς ἀντωνυμίας πρόσωπον ἐνδεῖ, ἐν ᾧ ἦν ἀντιδιασταλτικὴ ἐκφορά; διδασκόμεθα δὴ ἐντεῦθεν ὡς φυσικῷ τινὶ λόγῳ αἱ ἐγκλιτικαὶ τῆς εὐθείας ἐσιγήθησαν, πάσης φράσεως
C μεταβατικὸν ἐν προσώποις ἐχούσης τὸ ῥῆμα, ὅπερ ἦν δυνάμει ἐγκλινομένη ἀντωνυμία. πρός γε μὴν τοῖς εἰρημένοις, οὐδ' αἱ ἀνθυποφερόμεναι τοῖς πύσμασιν ἐκτός εἰσιν ἀντιδιαστολῆς. εἰ γὰρ ὧδέ τις ἀποφαίνοιτο, τίς ἔγραψε, τίς διετάξατο, φαμὲν ἐγώ ἐξαιροῦντες τῆς κατὰ τὸ πύσμα ἀορίστου προφορᾶς τὸ δεδρακὸς πρόσωπον. Ὡς μὲν οὖν τὸ ῥῆμα τὰς ἐγκλιτικὰς τῆς εὐθείας παρωθεῖται, εἴρηται·

νῦν δὲ ῥητέον ὡς καὶ αὐτὰ τὰ ὀνόματα ἀποθλίβουσιν ἀντ' αὐτῶν παραλαμβανόμεναι. τὰς μὲν οὖν ἄλλας πτώσεις ἐν προσώποις τρίτοις νοεῖσθαι, μόνην δὲ τὴν κλητικὴν ἐν δευτέρῳ, ὡς ἐν τῷ ὦ σὺ Ἀρίσταρχε. ὃ οὖν ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενος ἢ πρός τινα ἀποειδόμενος τὸν λόγον ὑπὲρ αὐτοῦ τοῦ προσφωνουμένου ἠδυνάτει προσχρῆσθαι τοῖς ὀνόμασιν, ὡς προείρηται, ἐπεὶ ἐν τρίτοις προσώποις ἐνοεῖτο, χωρὶς εἰ μὴ τὰ τῆς ὑπάρξεως ῥήματα συντάττοιτο· τηνικαῦτα γὰρ ἐπὶ πρώτου καὶ δευτέρου τὰ ῥήματα ἐτάσσετο. καὶ μάλα εὐλόγως· οὐ γὰρ ἔτι ἡ ἀντωνυμία τὸ ἰδίᾳ τινὶ παρηκολουθηκὸς ἠδύνατο παραστῆσαι. φαμὲν γὰρ οὖν Ἀρίσταρχος λέγομαι, μακρὸς ὑπάρχω. ἀναγκαίως οὖν αὗται παραλαμβάνονται κατὰ πρῶτον καὶ δεύτερον, κοινὴν προσώπων μετάβασιν δηλοῦσαι. ἐπὶ γὰρ τῶν τρίτων οὐκ ἐξ ἀνάγκης παραληφθήσονται· δυνατὸν γὰρ προσχρῆσθαι καὶ τοῖς ὀνόμασιν, ἐγὼ καὶ σὺ καὶ Ἀριστοφάνης, χωρὶς εἰ μὴ δείξεως δέοιτο ὁ λόγος, καθάπερ ἐπὶ τοῦ

οὗτος δ' Αἴας ἐστὶ πελώριος·

οὐ γὰρ μόνον τῷ τὴν ποιότητα παρισταντι ἠρκέσθη, ἀλλὰ καὶ δεῖξιν ἐπιζητοῦντος τοῦ λόγου ἐπηνέγκατο ἀντωνυμικόν. ἄλλως τε ἡ γνῶσις τῶν κυρίων ὀνομάτων οὐ δῆλος ἅπασιν· ὅθεν ἐπὶ τὴν κοινῶς λαμβανομένην ἐπὶ παντὸς ἀντωνυμίαν καταδρομὴ γίνεται· οὐσίας γὰρ

αὕτη μόνον παραστατική. διὸ καὶ ὁ Νέστωρ, οὐσίας μόνον ἀντιληπτικὸς γενόμενος, οὐκέτι δὲ καὶ τῆς παρακολουθούσης ποιότητος διὰ τὴν ἀδηλίαν τοῦ καταστήματος, ὁρίζει μὲν τὸ ὑποκείμενον πρόσωπον, ἀνακρίνει δὲ τὸ ποιόν,

τίς δ' οὗτος κατὰ νῆας·

ὁ δὲ τὸ ἴδιον δηλοῖ,

γνώσεαι Ἀτρείδην.

Ὡς μὲν οὖν καὶ ἐπὶ τρίτων πολλάκις παραλαμβάνονται ἀντ' ὀνόματος, ἐδείχθη. Ἴσως τις ὡς μαχόμενα ταῦτα παραλήψεται

δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι

Ἕκτορι δίῳ,

καὶ τό

οὐκ ἂν μ' ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε

Ζῆν' ὕπατον μήστωρα·

ἰδοὺ γὰρ ὑπὲρ ἑαυτῶν λέγοντες ὀνόματι προσχρῶνται, τοῦ λέγεσθαι ἢ ὑπάρχειν μὴ συντεταγμένων. Ἀλλ' οὐ τὰ ἐν σχήματι λαμβανόμενα, καὶ ταῦτα ὀλιγάκις, κανὼν τῶν πλείστων. ἄλλως τε ἔμφασιν ὑπεροχῆς τὰ τοιαῦτα σημαίνει. καὶ τὸ ἐπὶ Κύκλωπος δὲ λεγόμενον ἐπὶ τρίτου ἂν ἠκούετο,

Οὖτιν ἐγὼ πύματον ἕδομαι,

εἰ μὴ ἀνθυπαλλαγῇ τῆς ἀντωνυμίας εἰς δεύτερον αὐτὸ ἔτρεψε,

τὸ δέ τοι ξεινήϊον ἔστω.

ὅμοιον γὰρ καὶ τὸ ἐπὶ Τηλεμάχου,

ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ, ὃς λαὸν ἄγειρα·

πάλιν γὰρ πρῶτον διὰ τὸ ἤγειρα. οὐκ ἄλο- A
γον δὲ τὸ τὴν τῶν ὀνομάτων ἐκφορὰν ἐν τρί-
τοις, νοεῖσθαι, ἐπεὶ αἱ διαθέσεις τῶν ὀνομάτων
οὐ τὸν πρός τινα λόγον ἔχουσιν, ἀλλὰ τὸν
περί τινος.

Αἱ ἀντωνυμίαι οὔτε ἀντὶ τῶν προσηγορι-
κῶν ὀνομάτων, οὔτε ἀντὶ ἐπιθετικῶν, εἴγε αἱ
μὲν ὁρίζουσιν ἕν τι, τὸ δὲ προσηγορικὸν δηλοῖ
κατὰ πλειόνων, ἄνθρωπος, ἵππος. τὸ δὲ
ἐγώ εἰμι ὁ ταῦτα δρῶν ἀντὶ ὀνόματος κυ-
ρίου τοῦ Τρύφων ἢ Δίων. ἀλλὰ μὴν τὰ ἐπιθε- B
τικὰ ἢ πηλικότητα ἢ ποσότητα ἢ διάθεσιν
ψυχῆς δηλοῖ ἤ τι τοιοῦτον· αἱ δὲ ἀντωνυμίαι
οὐδενὸς τούτων παραστατικαί, μόνον δὲ οὐσίας.
ἀμέλει τὸ λευκός ἐστιν ἢ μέλας ἢ ἀγα-
θός εἰς ἀντωνυμίαν οὐ μεταλαμβάνεται, τοῖς
δὲ κυρίοις τὰ ἐπιθετικὰ συναρτᾶται, μακρός
ἐστι Τρύφων, λευκός ἐστι Δίων· φαμὲν
δὲ ἐγὼ λευκός εἰμι, ἀγαθὸς εἶ σύ· καὶ
κατὰ τοῦτο οὖν ἀντὶ κυρίων δείκνυνται παρα-
λαμβανόμεναι. Ἔτι καὶ τὸ ἵππος με ἐλά- C
κτισε, μεταλαμβανόμενον εἰς τὸ οὗτός με
ἐλάκτισεν, οὐκέτι κοινότητα τοῦ ἵππου ἐπαγ-
γέλλεται, τὸν δὲ ἰδίως νοούμενον.

Ἐπεὶ δὲ καί τινες τῶν λέξεων ἀμφιβάλ-
λονται, πότερον ἀντωνυμίαι ἢ ὀνόματα, διά
τινας ὁμοιότητας ἢ κοινὰς παρακολουθήσεις,
καὶ περὶ τούτου λεκτέον, ἵνα τἀκριβὲς τοῦ λό-
γου προσγινόμενον τὸ δισταζόμενον κατὰ τάσδε
τὰς

Aτὰς λέξεις ἀποτρίψηται. Τὰ γοῦν ἐγκλιτικὰ
τῶν πτωτικῶν ἀντωνυμίας φασὶν εἶναι, τίμη-
σόν με,

κόψε γάρ αὐτον,
οὐδέ τί μοι περίκειται·

διὰ τοῦτο τὸ ΤΙΣ, ἐγκλιτικὸν ὄν, ἀντωνυμία,
ἦλθέ τις ἄνθρωπος. τά τε εἰς σ̄ λήγοντα
ὀνόματα, μονοσύλλαβα ὄντα, ἐκτείνεται, Κρής,
θής, παῖς, θίς, εἷς, τὰ δὲ τῶν ἀντωνυμιῶν
συστέλλεται, σός, ὅς, σφός. αἱ εἰς ν̄α λή-
Bγουσαι αἰτιατικαὶ εἰς ν̄ λήγουσι κατὰ τὸν
τοῦ οὐδετέρου παρασχηματισμόν, μέλανα
μέλαν, τάλανα τάλαν, τέρενα τέρεν,
ἕνα ἕν. πῶς οὖν ἀπὸ τοῦ τινά οὐχὶ τίν, ἀλ-
λὰ τί; τὸ δ' ἀνακόλουθον ἐν ἀντωνυμίαις· τοι-
οῦτον οὖν καὶ τὸ προκείμενον. καὶ ἐκ τοῦ παρὰ
Δωριεῦσι μὴ περισπᾶσθαι, καθὸ παιδῶν, παν-
τῶν, Τρωῶν. οὐσίαν σημαίνουσιν αἱ ἀντωνυ-
μίαι, τὰ δὲ ὀνόματα οὐσίαν μετὰ ποιότητος·
τὸ οὖν τίς, οὐσίας ὂν μόνον παραστατικόν,
Cἀντωνυμία. ἔτι ἀνταποδίδοται τῷ ποῦ τὸ ἐκεῖ,
καὶ γίνεται ἓν μέρος λόγου, τῷ τε πότε τὸ
ὅτε· καὶ τῷ τίς οὖν τὸ ἐγώ· ταὐτὸν ἄρα. Ἐγὼ
δ' οἶμαι πᾶσαν λέξιν μᾶλλον ἀντωνυμίαν πα-
ραδεχθῆναι ἢπερ τὸ τίς καὶ τὰ τῆς τοιαύτης
σημασίας ὀνόματα, λέγω δὲ τὸ ποῖος, πόσος.
τὸ γὰρ ἐναντιώτατον ταῖς ἀντωνυμίαις, ἀόρι-
στά ἐστιν, αὐτῆς ὁριζούσης πρόσωπα. εἴτε
γὰρ πυσματικῶς, εἴτε ἀποφατικῶς λαμβάνοιτο,

σαφὲς ὅτι ἀόριστα. ὁ γὰρ πυνθανόμενος, ἐν ᾧ Α
πυνθάνεται, ἀγνοεῖ, τὸ δ' ἀγνοούμενον οὐχ ὁρι-
στόν· ὅ τε λέγων ἀποφατικῶς ἦλθέ τις οὐκ
ἐπί τινα γνωριζόμενον ἀπερείδεται. πῶς οὖν
οὐ παρέλκουσα ἡ ζήτησις; Ἀλλὰ τὸ τίς, ἀπο-
φατικὸν ὄν, ἐγκλίνεται. Ἀλλ' οὐδεμία ἀντωνυ-
μία, εὐθείας οὖσα, ἐγκλίνεται, τὸ δὲ τίς εὐ-
θείας· πῶς οὖν ἀντωνυμία; ἄλλως τε οὐκ ἴδιον
ἀντωνυμίας ἔγκλισις, ἀλλὰ καὶ ῥημάτων, ὡς τὸ
ἐστίν, εἰσίν, καὶ συνδέσμων, ὁ πέρ, ὁ τέ, καὶ
ἐπιῤῥημάτων, ὡς τὸ ποτέ, πῶς. οὐκ ἐπεὶ οὖν Β
ἐγκλίνεται τὸ τίς, ἀντωνυμία. Πῶς οὖν οὐ
τείνεται μονοσυλλαβοῦν ὡς τὰ ὀνόματα; Τοῦ-
το φωνῆς κατηγόρημα, οὐ τοῦ νοουμένου ἀπὸ
τῆς φωνῆς. ἡ αὐχένος παράλογός ἐστιν, ἀλλ'
ὄνομα· τὸ πέποσχα ἡμάρτηται, ἀλλὰ ῥῆμα.
ἴσως δὲ καὶ ἡ σύντομος τῆς πεύσεως ἀνακρι-
σις τὸ μακρὸν ῑ παρῃτήσατο. Εἰς ῑ δὲ λήγει
τὸ οὐδέτερον, καθότι τὰ συστελλόμενα τῶν
διχρόνων ἀποβολῇ τοῦ σ̄ τὸ οὐδέτερον ποιοῦ-
σι, ταχύς ταχύ, ἥμισυς ἥμισυ, μέγας C
μέγα, εὔχαρις εὔχαρι· τοιοῦτον οὖν καὶ
τὸ τί. Αἱ ἀντωνυμίαι ὀρθοτονούμεναι καὶ ἐγ-
κλινόμεναι αὐτὸ μόνον διαστέλλουσι τὰ πρόσ-
ωπα, καὶ ὀρθοτονούμεναι ἀνταναπλῶνται· τῷ
δὲ τίς οὐ ταὐτὸν παρηκολούθει. οὐ γὰρ ἕνεκα
διαστολῆς τὸ τίς ὀξύνεται, ἀλλ' ἕνεκα πεύσεως.
Τῷ τίς τὸ ἐγώ ἀνθυπάγεται, ἀλλὰ καὶ τὸ
Ἀρίσταρχος, ἄλλα μυρίων προσώπων δεικτικά.

Α τὰ δὲ πύσματα κατὰ ποσότητος, ὡς τὸ πό-
σος, καὶ ποιότητος, ὡς τὸ ποῖος, καὶ πηλικό-
τητος, ὡς τὸ πηλίκος, καὶ κατ' οὐσίας, ὡς τὸ
τίς. καὶ οὐ διὰ τοῦτο ἀντωνυμία. Οὐκ ἔστιν
εὔλογον κατατρέχοντας τῆς φωνῆς φάναι ὡς
οὐδεμία ἀντωνυμία εἰς ις̄ ἢ εἰς νος̄ ἢ εἰς νᾱ λή-
γει, ἢ περισσοσυλλαβεῖ κατὰ γενικήν, ἐπεὶ ἕνε-
κά γε τούτου οὐδεμία ἀντωνυμία εἰς γω̄ ἢ εἰς
σῡ. καὶ σχεδὸν ἐπὶ πασῶν τὸ αὐτὸ ἦν, καὶ
οὐ πάντως οὐκ ἀντωνυμία. Εἰ δὲ χρή, ἐκεῖνο
Β λεκτέον, ὡς αἱ γένους παραστατικαὶ καὶ ἀκοι-
νώνητοι ὡς πρὸς τὰ θηλυκά, ἐκεῖνος ἐκείνη,
αὐτός αὐτή· πῶς οὖν ὁ τίς καὶ ἡ τίς; τὸ
οὐδείς συντάσσεται γενικῇ ἀντωνυμίας, οὐδεὶς
αὐτῶν, οὐδεῖς ἡμῶν· οὐκέτι τῷ τινῶν.
πρὸς τὴν πεῦσιν βαρύνεται τὸ τίνων, ἐπεὶ τὰ
πύσματα πρὸς πάντων Ἑλλήνων βαρύνεται,
ὑπὲρ μίαν συλλαβὴν ὄντα, ὑπεξαιρουμένου τοῦ
ποδαπός διὰ τὸν τύπον. οὐ πάντως οὖν οὐχὶ ὄνο-
μα, ὅτι παρὰ Δωριεῦσιν οὐ περισπᾶται, καὶ ἐπεὶ
C τινά ὀξυτόνως φαμὲν ἐπὶ τῆς ἀποφάσεως, καί-
τοι μηδεμιᾶς αἰτιατικῆς εἰς ᾱ ληγούσης καὶ
ὀξυτονουμένης. Πῶς δὲ οὐχὶ κἀκεῖνο γέλοιον;
ἡ γὰρ ῐ̈ ἀντωνυμία προσέλαβέ φασι τὸ τ̄, καὶ
ἐγένετο τί, τὰ δὲ τοιαῦτα τοῦ αὐτοῦ μέρους
λόγου, οἷος τοῖος, ὡς τώς. Πρῶτον μὲν οὐ
τῆς αὐτῆς ἐννοίας· εἶτα ἔδει τὸ τί τῶν τριῶν
γενῶν εἶναι παραστατικόν, ὥσπερ καὶ τὸ ῐ̈. ἢ
εἴπερ τὸ τί οὐδέτερον μόνως, πῶς οὐχὶ καὶ

τῷ τίς τὸ δίχα τοῦ τ προσκειται ἵς; τί δὲ τὰ
μὲν ἀπὸ τοῦ τ κλίσιν καὶ ἀριθμὸν ἀνεδέξατο, A
τινός, τινῶν, τὰ δὲ ἀπὸ τοῦ ι οὐκέτι, τῶν
τοιούτων κλινομένων; οἷου γὰρ καὶ τοίου.

Τὸ ΤΗΛΙΚοῦτος καὶ ΤΟΙοῦτος τά τε τούτοις
ὅμοια σύνθετα, ὥς τινες ὑπέλαβον. σκεπτέον
οὖν καὶ τίνα ἂν μέρη λόγου εἴη, εἴπερ ἔγκειται
τὸ οὗτος. Καὶ ὑπὲρ μὲν τῆς συνθέσεως τάδε
τὰ κεφάλαια. ὁ τύπος τῆς φωνῆς, ἐν ᾧ τὰ ἐν
διαλύσει, φαμὲν τηλίκος οὗτος. ἡ διὰ τοῦ ι
ἔπέκτασις, τηλικουτοσί, τοιουτοσί, ὅπερ B
ἐπ' ὀνομάτων οὐ συμβαίνει. τὸ δεῖξιν ἀναδέ-
χεσθαι· ἀφορῶντες γάρ φαμεν τηλικοῦτος
καὶ τοιοῦτος, τούτου μὴ παρακολουθοῦντος
ὀνόμασι. τῶν τε οὐδετέρων ἡ εἰς ο κατάληξις,
τηλικοῦτο· ὁμοίως γὰρ τῷ αὐτό καὶ τοῦτο
καὶ ἐκεῖνο. Ὑπὲρ δὲ τοῦ μὴ οὕτως ἔχειν τὰ
τῆς συνθέσεως ῥητέον· πῶς τὸ τηλίκος καὶ ἔτι
τὸ τηλικόσδε, ἀσύνθετα ὄντα, τὸ αὐτὸ σημαί-
νει τῷ τηλικοῦτος; πότε ἁπλοῦν συνθέτῳ ταὐ-
τόν ἐστι; δεύτερον, οὐχ ὑγιὲς τὸ λέγειν, ὡς τὸ C
τηλίκος καὶ τὸ οὗτος ἔγκειται. τί γὰρ οὐ μᾶλ-
λον ὄνομα ἐκ τοῦ κατ' ἀρχὴν μέρους ἡ ἀντωνυ-
μία ἐκ τοῦ κατὰ τὸ τέλος; ἐὰν γὰρ ἁπαξ
δοθῇ ἐγκεῖσθαι τὸ οὗτος, δέδοται καὶ ἀντωνυ-
μίαν εἶναι τὸ τηλικοῦτος· τὰ γὰρ τέλη τῶν
λέξεων ἐπικρατεῖ κατὰ τὰς συνθέσεις. ῥῆμα
γοῦν τὸ δημαγωγῶ καὶ παιδαγωγῶ, καὶ ὄνο-
μα τὸ εὐγενής, καὶ εἰ ἐξ ἐπιῤῥήματος σύγκει-

ται· καὶ ἐπ' ἄλλων μορίων τὸ αὐτό. ἄλλως τε A
καὶ ποίαν ἔτι ἔμφασιν ἔχει τὸ τημοῦτος τῆς
οὗτος ἀντωνυμίας, ἢ τὸ τηνικαῦτα τοῦ αὐτά,
ὅτε οὐδὲν πλέον τοῦ τηνίκα καὶ τῆμος σημαί-
νει; πῶς δ' οὐχὶ καὶ κοινά ἐστι κατὰ γένος
καὶ προπαροξύνεται; τὰ γὰρ σύνθετα τοιαῦτα
κατὰ γένος καὶ κατὰ τόνον, ὑποστελλομένων
τῶν παραλόγων. ἀπὸ γοῦν τοῦ δοῦλος προ-
περισπωμένου τὸ σύνδουλος καὶ κοινὸν καὶ προ-
παροξυνόμενον· ἐχρῆν ἄρα καὶ παρὰ τὴν οὗτος
B τὸ τηλικοῦτος προπαροξύνεσθαι. Ἀλλὰ δύο
πρόσωπα δηλοῖ, τό τε δεικνύμενον καὶ ἐφ' ὃ
ἀναφέρεται ἡ δεῖξις, ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ
σύνθετον καθειστήκει. Καὶ τοῦτο εὐαπόλυτον.
ἰδοὺ γὰρ σύνθετοι λέξεις ἓν ἁπλοῦν δηλοῦσιν,
ὡς ἡ Θεόφραστος, καὶ ἁπλαῖ λέξεις πλείονα
πρόσωπα. Ἑκτόρειος γὰρ ὁ τοῦ Ἕκτορος ἵπ-
πος· καὶ ἔτι τὸ ἱππεύς μετὰ τοῦ ἵππου καὶ
ἀνδρὸς καὶ τέχνην ἐπαγγέλλεται, καὶ ἄλλα
πλείονα παραχθέντα ὑπόφασιν παρέχει συν-
C θέσεως. τὸ μελιτηρόν τοῦ τηρεῖν, ὅπερ ὁμοίως
παρῆκται τῷ καματηρόν καὶ αἱματηρόν· τὸ
φαιδιμόεντες, ὅτι φαίδιμα ἔντη, ὅπερ ἦν κλίσις
ἁπλοῦ τοῦ φαιδιμόεις. πῶς δ' οὐχὶ καὶ ἡ δα-
σεῖα τοῦ οὗτος ἐφυλάσσετο; τί δὲ οὐχὶ καὶ
πρώτου καὶ δευτέρου ἀναλογούσας ἔχει, ὅπερ
καὶ σύγκειται; καὶ γὰρ ἡ ἐμαυτοῦ καὶ σαυ-
τοῦ. οὐσίαν μόνον σημαίνουσιν αἱ ἀντωνυμίαι,
ταῦτα δὲ καὶ ποιότητα καὶ τηλικότητα, τηλι-

κοῦτος καὶ τοιοῦτος. Ἄλλως τε καὶ ὁμοιώσεως A
ὄντα τὰ ὀνόματα τῶν ὑποκειμένων ἐδόκει δεῖξιν
παριστάνειν. Ὅπερ ἄγαν ἐστὶ ληρῶδες. τὸ γὰρ
δεικνύμενον δι' ἀντωνυμίας οὐκ ἐπ' ἄλλου συν-
τείνει, αὐτὸ δὲ τὸ ὑποκείμενον καὶ κατὰ γένος
καὶ κατὰ ἀριθμόν. ἀφορῶν γάρ τις εἰς λίμνην
φήσει τηλικοῦτον εἶναι τὸν Νεῖλον. ἢ ἐπὶ πλή-
θους, τηλικοῦτοί μοί εἰσιν οἱ παῖδες
ἀποβλέπων εἰς ἕν τι μέγεθος τῶν ὑποκειμέ-
νων, ὅπερ ἐπὶ παντὸς γένους δύναται παρα-
λαμβάνεσθαι. Ἀλλ' εἰς ὃ λήγει τὸ οὐδέτερον. B
Τοῦτο ἴδιον τῆς παραγωγῆς. ἴσως δὲ καὶ εἰς
ὃν λήγουσιν αἱ οὐδέτεραι ἐκφοραί. αἵ τε διὰ τοῦ
ι ἐπεκτάσεις κατά τινος ὑποκειμένου καὶ ἀνα-
φερομένου θέλουσι παραλαμβάνεσθαι· ἐκεινοσί
γὰρ καὶ τουτοί. ὑπέκειτο δὲ ταῖς τοιαύταις
φωναῖς τὸ ὁμοιωματικόν, ἐφ' ὃ ἀναφέρεται τὸ
τηλικοῦτος. ἀμέλει τὸ ἴσος μεταλαμβάνεται
εἰς τὸ τηλικοῦτος, ὅπερ ὄνομα· ὀνόματα ἄρα
καὶ τὰ προκείμενα.

Τῆς αὐτῆς ζητήσεως τυγχάνει τὸ ΗΜΕΔΑ- C
ΠΟΣ, καὶ ΥΜΕΔΑΠΟΣ, τοῦ δαπέδου ἢ ἐδάφους
κατά τινας ἐγκειμένου. Ἀλλ' ἐβαρύνετο ἂν
ὁμοίως τοῖς τὸ ὃ φυλάξασιν οὐδετέροις, ἄστε-
φος, εὔτειχος, δύςριγος, εἰ παρὰ τὸ ἔδα-
φος· εἰ δὲ παρὰ τὸ δάπεδον, ὁμοίως τῷ εὔ-
τεκνος, εὔμετρος, εὐπρόςωπος. ἀλλ' εἰ καὶ
τὰ τοῦ τόνου παραπεμπτέα, εἴγε καὶ τὰ παρὰ
τὸ ἔργον συντιθέμενα ὀξύνεται, μουσουρ-

γός, ἐλεφαντουργός, ὑπουργός, τὰ τοῦ A
γένους ἀντέκειτο· κοινὰ γὰρ θέλει εἶναι ὁμοίως τοῖς
συνθέτοις. πρὸς οἷς καὶ τὰ τῆς γραφῆς ἀντέκει-
το· ἐχρῆν γὰρ ἡ ἡμεδαπεδός διὰ τοῦ δ ἡ ἡμεδα-
φός διὰ τοῦ φ. πρὸς τούτοις εἰς ἄπορον περίστα-
ται τὸ σχῆμα τῆς λέξεως· οὔτε γὰρ ὄνομα, ἐπεὶ
πῶς πρώτου προσώπου καὶ δευτέρου δεκτικόν,
ὅπερ ἐν ὀνόματι οὐ παρακολουθεῖ· οὔτε ἀντω-
νυμία, ἐπεὶ τὰ τέλη τῶν σχημάτων ἐπικρατεῖ,
ὄνομα δὲ τὸ τέλος, ὄνομα ἄρα τὸ ἡμεδαπός.
B ἔτι οὐδεμία ἀντωνυμία μετ' ἄλλου μέρους λόγου
συντίθεται ἢ μόνη ἡ αὐτός. πληθυντικὴ δὲ
οὐδεμία καθόλου· πῶς οὖν σύνθετον τὸ ἡμε-
δαπός; Εἰρήσεται μὲν οὖν ἐντελῶς ἐν τῷ περὶ
συνθέτων ἡ αἰτία τῆς ἀσυνθεσίας, καὶ νῦν δὲ
διὰ βραχέος ῥηθήσεται. τὰ ὀνόματα δείξεώς
ἐστιν ἀπαρέμφατα, αἱ δὲ ἀντωνυμίαι δείξεώς
εἰσι παραστατικαί, ἀλλὰ μὴν καὶ προσώπων
ὡρισμένων, ἀπολύτων τε καὶ διασταλτικῶν. τά
τε συντιθέμενα τῶν λέξεων τὸ ἴδιον σημαινόμε-
C νον φυλάσσει, ἐάνπερ μὴ συμβολικῶς λαμβά-
νηται, καθάπερ τὰ κύρια. ὀρθῶς ἄρα τὴν σύν-
θεσιν τῶν ἀντωνυμιῶν τὰ ὀνόματα παρητή-
σατο, ἐπεὶ κἀκ τῶν προκειμένων τὰ ὀνόματα
παρελαμβάνετο. Τὸ παντοδαπός ἴσον τῷ
παντοῖος, καὶ οὐδαμοῦ τὸ ἔδαφος· δῆλον ὡς
καὶ τὰ προκείμενα ἀσύνθετα. Ἐλλιπῆ ὄντα
τὰ πύσματα τοῦ ἐφ' ᾧ ποθεῖ, ἀσύνθετα καθέ-
στηκεν· αἱ γὰρ συνθέσεις αὐτοτελεῖς θέλου-

σιν εἶναι. πῶς οὖν τὸ ποδαπός σύνθετον; Πα- Α
ράγονται αἱ ἀντωνυμίαι. ἰδοὺ γὰρ νωΐτερος καὶ
ἡμέτερος. ἀκωλύτως ἄρα καὶ ταῦτα παρήχθη,
ὁμοίως τῷ τηλεδαπός καὶ παντοδαπός.

Ἀλλά φασιν, εἰ δοθείη τὸ ἡμεδαπός πα-
ρῆχθαι, δοθήσεται καὶ τὸ ΑΛΛΟΣ ἀντωνυμία,
ἐπεὶ τὸ ἀλλοδαπός τῷ ἡμεδαπός καὶ ὑμεδα-
πός, ἀντωνυμικοῖς οὖσι, τρίτον καθεστὸς συμ-
παρήχθη· χρῆν γὰρ σφεδαπός. Καὶ τοῦτο
εὐαπόλυτον. πρῶτον ὡς οὐκ εἴ τι κατὰ τὸ τρί-
τον ἐπάγεται ταῖς ἀντωνυμίαις, τοῦτο ἀντωνυ- Β
μία· ἰδοὺ γὰρ καὶ τὰ ὀνόματα. ἔπειτα ἐξ ἀνάγ-
κης τὸ ἀλλοδαπός ἐπιφέρεται, οὐ καθὸ ἀντω-
νυμία, καθὸ δὲ τῶν ὑποκειμένων προσώπων
ἀναιρετικὸν ὑπάρχον εἰς ἀόριστον πρόσωπον με-
θίστησιν· ἄλλος γάρ, οὐκ ἐγώ· ἄλλος, οὐ σύ·
ἄλλος, οὐκ Ἀρίσταρχος. ἀναγκαίως οὖν τὸ ἡμε-
δαπός καὶ ὑμεδαπός, τοῦ ὁρισμοῦ στερούμενα,
εἰς τὸ ἀλλοδαπός περιίστατο ἀόριστον, τοῦ
σφεδαπός μὴ δυναμένου κατὰ τὸ τρίτον πα-
ραλαμβάνεσθαι, ἐπεὶ δυσέφικτον τὸ ὁρίσαι παν- C
τὸς ἀνθρώπου πόλιν· ἄπειρα γὰρ τὰ τρίτα.
στέρησις ἄρα ἦν πρώτου καὶ δευτέρου τὸ ἀλ-
λοδαπός, ὥσπερ ἀρσενικοῦ καὶ θηλυκοῦ τὸ
οὐδέτερον. Ἀλλ' οὐδὲ κλητικὴν φασιν ἔχειν τὸ
ἄλλος, καθότι αἱ ἀντωνυμίαι, ἐκεῖνος καὶ αὐ-
τός. Καὶ τοῦτο λιῤῥῶδες. εἰ γὰρ ἡ κλητικὴ
κλῆσις τοῦ πέλας, ὅπερ ἐστὶ δεύτερον πρόσ-
ωπον, πῶς οὐχὶ βέλτιον τὸ ἀφανιστικὸν τῶν

προσώπων ἐς δευτέρου προσώπου γένεσιν μεθί- Α
στασθαι; Ἀλλὰ καὶ τὸ οὐδέτερον εἰς ὃ ἔληξε,
καθότι τὸ αὐτό καὶ τὸ ἐκεῖνο ἀντωνυμίαι ὄντα.
Τοῦτο ἁμάρτημα φωνῆς, ὅπερ κατωρθοῦτο ἐν
τῷ συνθέτῳ, τὸ ὀφειλόμενον ἢ προσλαμβάνον·
ἕξαλλον γὰρ καὶ περίαλλον. Τὴν γενικὴν πλη-
θυντικὴν περισπῶσι Δωριεῖς, ἐπεὶ καὶ τὰς τοι-
αύτας τῶν ἀντωνυμιῶν· τούτων γὰρ καὶ τηνῶν,
οἷς ὅμοιον καὶ τὸ ἀλλῶν. Ἀλλ' οὐκ εἴ τι ἐν
διαλέκτοις παρὰ τάσιν ὠλιγώρηται, τοῦτο καὶ
τῆς ποιότητος τῆς λέξεως ἐστέρηται· ἴσως δὲ Β
καὶ τὸ ἐλλιπὲς τῆς εὐθείας ἀνεπλήρωσαν Δω-
ριεῖς, ὡς ἀπὸ ὀξυτόνου εὐθείας ἐνικῆς περι-
σπῶντες. Ἡ ἀντωνυμία ὁρίζει πρόσωπα, τὸ
δὲ καὶ τὰ ὁριζόμενα ἀόριστα καθίστησιν, ἄλ-
λος, οὐκ ἐγώ. αἱ ἀντωνυμίαι ἀντ' ὀνομάτων·
Ἀρίσταρχος ἐξηγήσατο καὶ αὐτὸς ἐθαυ-
μάσθη ἓν καὶ τὸ αὐτὸ πρόσωπον, ἀλλ' οὐκέτι
ἐν τῷ Ἀρίσταρχος ἐξηγήσατο καὶ ἄλ-
λος ἐθαυμάσθη. αἱ εἰς ος λήγουσαι ἀντω- C
νυμίαι μονοπρόσωποι, ὀρθοτονούμεναι μόνως καὶ
δεικτικαὶ οὖσαι, διὰ τοῦ ι ἐπεκτείνονται, χωρὶς
τῆς αὐτός· αὕτη γὰρ ἀναφορικὴ οὖσα οὔτε
ἐπεκτείνεται οὔτε μόνως ὀρθοτονεῖται· ἐκεινοσί
γὰρ καὶ οὑτοσί δεικτικῶς, ἀναφορικῶς δὲ κατ'
ἔγκλισιν

κόψε γάρ αὐτον ἔχοντα.

τὸ δὲ ἄλλος οὐδενὶ τῶν λόγων ὑποπίπτει. ἢ
αὐτός πάσῃ ἀντωνυμίᾳ ἐπιτάσσεται, ἐγὼ αὐ-

τός, ἐκεῖνος αὐτός· οὐκέτι δὲ ἄλλος αὐ- A
τός. αἱ σύνθετοι τῶν ἀντωνυμιῶν οὐ μεταβατικαί, ἐμαυτόν καὶ ἐμαυτῷ· τὸ δ' ἀλλήλους ἐν μεταβάσει προσώπων. μετὰ προθέσεως οὐ συντίθενται ἀντωνυμίαι· διάλληλος δέ φαμεν. αἱ γενικαὶ πληθυντικαὶ τῶν ἀντωνυμιῶν συντάσσονται μετὰ τοῦ οὐδείς χωρὶς ἄρθρου, τὰ δὲ ὀνόματα μετὰ ἄρθρου· οὐδεὶς τῶν ἄλλων παρεγένετο. Παραιτητέον τὴν λοιπὴν ἐπιχείρησιν ὑπὲρ τοῦ τὸν λόγον μὴ ἐπὶ πλέον προάγειν, τῶν συνεκτικωτάτων κατειλημ- B
μένων.

Εἰ τὰ ἐν πρώτῳ προσώπῳ νοούμενα ἢ ἀντωνυμίαι εἰσὶν ἢ ῥήματα, σαφὲς ὅτι τὸ Ὦμοι, πρώτου ὑπάρχον προσώπου, ἀντωνυμία ἂν γένοιτο καὶ οὐ ῥῆμα. καὶ ἐκ τῆς λέξεως δὲ προφανὲς ὡς ἔστι δοτικῆς. Ἀλλ' αἱ τοῦ πρώτου προσώπου καὶ δεύτερον καὶ τρίτον ἔχουσι, τὸ δὲ ὤμοι οὐκέτι. αἱ ἀντωνυμίαι τὴν περισπωμένην ὑπερκειμένην φυλάσσουσι, πῶς μοι, καλῶς μοι· τὸ δὲ ὤμοι οὐκέτι τοῦ ὦ τὸν περι- C
σπασμὸν ἐφύλαξεν. ἀπ' ἀντωνυμιῶν ῥήματα οὐ παράγεται· πῶς οὖν τὸ οἰμώζειν; δῆλον οὖν ὡς ἐπίῤῥημα· καὶ γὰρ παρὰ τὸ αἰαί αἰάζειν, λίαν λιάζειν. Ἴσως δόξει τισὶ μάχεσθαι τὸ μὴ ἐπὶ πᾶν πρόσωπον συντείνειν, καθάπερ τὰ ἄλλα ἐπιῤῥήματα, καλῶς γράφεις καὶ γράφει, Ἑλληνιστὶ λέγεις καὶ λέγει. Ἀλλὰ τὰ σχετλιαστικὰ τῶν ἐπιῤῥημάτων, ἐξ αὐτοπα-

A θείας ἐκπεμπόμενα, αὐτὸ μόνον τοῦ ὑποκρινομένου προσώπου τὸ λυπηρὸν παρίστησι, τὴν δ' ἐπὶ τὰ ἄλλα πρόσωπα μετάβασιν ἀπήρνηται. τοῦτο γὰρ ἦν καὶ τὸ δόξαν πρώτου προσώπου ἔμφασιν δηλοῦν. εὐήθεις οὖν οἱ σολοικισμὸν φάσκοντες ἐν τῷ

ὤμοι ἐγὼ δειλός.

ΣΥΜΒΕΒΗΚΕ τῶν ἀντωνυμιῶν ἃς μὲν ὀρθοτονεῖσθαι, τουτέστι τὸν κατὰ φύσιν τόνον ἔχειν, ἃς δὲ ἐγκλίνεσθαι, ὧν τὸ τέλος, λέγω δὴ B
τῶν ἐγκλινομένων, ἢ φύσει ὀξύνεται ἢ δυνάμει, ὡς τὰ περισπώμενα. ἐν αὐτοῖς γὰρ ἔχει ὀξεῖαν, ἥτις μεθίσταται κατὰ τὴν ἀρχουσαν συλλαβήν, ὡς ἐπὶ τῶν τετραχρόνων, ἥ πασέ τις ἥμων, ἢ κατὰ τὸ τέλος τῆς ὑπερκειμένης λέξεως, ὡς ἐπὶ τῶν ἐλάττονας χρόνους, ἀναδεξαμένων, τοῦ τονικοῦ οὐκ ἐμποδίζοντος ἀνθρώποις μοι, τίς τάρ σφωε. Πρὸ τῆς οὖν κατὰ μέρος αὐτῶν ἐξετάσεως διαληπτέον καθολικώτερον περὶ τῆς διαφορᾶς τῶν ὀρθοτονουμένων
C πρὸς τὰς ἐγκλιτικάς, περί τε τῶν μόνως ὀρθοτονουμένων, καὶ διὰ τί, καὶ τῶν μόνως ἐγκλινομένων, τῶν τε εἰς ἄμφω τοὺς τόνους παραλαμβανομένων, καθ' οὓς τρόπους ὀρθοτονηθήσονται.

Αἱ μὲν οὖν ὀρθοτονούμεναι καὶ προτάσσονται καὶ ὑποτάσσονται, ἐμοὶ ἔδωκεν, ἔδωκεν ἐμοί· αἱ δὲ ἐγκλινόμεναι μόνως εἰσὶν ὑποτακτικαί. διαφέρει δὲ ὑποτακτικὸν ὑποτασσομένου, ἢ

τὸ μὲν πάντοτε ἐν ὑποταγῇ, τόν τε ἴδιον τόνον οὐκ A
ἔχει, τὸ δὲ ὑποτασσόμενον καὶ προτάσσεται, καὶ
τὸν τόνον τὸν ἑαυτοῦ ἔχει. ἐμοὶ γὰρ ἔδωκας,
ἔδωκας ἐμοί, λέγω δὲ δισυλλάβως· τὸ δ'
ἔδωκέ μοι καὶ βαρύτονον καὶ μονοσύλλαβον
καὶ οὐδέποτε πάντως προτακτικόν. ὃν τρόπον
καὶ ἐγκλινόμενον ἐγκλιτικοῦ. τὸ μὲν γὰρ ἐγκλι-
νόμενον αὐτὸ μόνον κοιμίζει τὴν ὀξεῖαν,

αὐτὰρ ἐγὼ καὶ Τυδείδης·

τὸ δ' ἐγκλιτικὸν μετὰ τοῦ τὸν τόνον ἀποσβεν-
νύειν καὶ τὴν πρὸ ἑαυτοῦ βαρεῖαν ὀξύνει, Ἀπολ- B
λώνιός μοι, ἐτίμησάς με. Ἀπόλυτοι αἱ
ἐγκλινόμεναι, αἱ δὲ πρός τι ἐν ὀρθοτονήσει λέγον-
ται, δὸς ἐμοί, οὐκ ἀναστρέφοντος τοῦ λόγου·
οὐ γὰρ εἴ τι ὀρθοτονεῖται, τοῦτο καὶ πρός
τι. τὸ

ὃς σφῶϊ προΐει

κατ' ὀρθὸν τόνον, καὶ τὸ νοούμενον ἀπόλυτον·
ἴσον γάρ ἐστι τῷ ὃς ὔμας. Καὶ ἔτι αἱ μὲν
ὀρθοτονούμεναι ἀντωνυμίαι καὶ ἀντὶ συνθέτων·
τὸ γὰρ C

ἐμὲ λύσομαι

ἀντὶ τοῦ ἐμαυτόν καὶ τὸ

ἦ ὀλίγον οἱ παῖδα

ἀντὶ τοῦ ἑαυτῷ· αἱ δὲ ἐγκλινόμεναι οὐδέποτε.
Καὶ αἱ μὲν συντίθενταί ποτε, ἐμὲ αὐτόν —
ἐμαυτόν,

νόστον ἑταίροισι διζήμενος ἠδ' ἐμοὶ αὐτῷ

ἀντὶ τοῦ ἐμαυτῷ. μέγιστον δὲ τεκμήριον τοῦ

A τὰς ὀρθοτονουμένας συντίθεσθαι ἢ διὰ τοῦ ε
γραφή· αἱ γὰρ ἐγκλινόμεναι κατὰ τὸ πρῶτον
πρόσωπον ἐνικαὶ τὸ ε̄ ἀποβάλλουσιν. ἄλλως τε
ἀδύνατόν ἐστι μόριον ἐγκλιτικὸν συντίθεσθαι.
κατὰ τοῦτο οὖν ἐκωλύετο τὸ μοί, ἐγκλιτικὸν
ὄν, συντίθεσθαι· πρόδηλόν τε ἐντεῦθεν, ὡς τὸ
ἑαυτῷ οὐκ ἀπὸ τῆς ἐγκλιτικῆς τὴν σύνθεσιν
ἔσχεν, ἀλλ' ἀπὸ τῆς ὀρθοτονουμένης. οὐκ ἐπεὶ
δὲ παρὰ Ἀττικοῖς συνθέτεως ἔτυχε τὸ πώποτε, εὐθέως καὶ ὁ λόγος ψευδής· οὐ γὰρ τὸ ἐν
B παραλόγῳ συνθέσει κανὼν τῶν πάντων γενήσεται. Ἀλλὰ μὴν καὶ αἱ κτητικαὶ τὴν ἀπὸ
τῶν ὀρθοτονουμένων παραγωγὴν εἰλήφασι, καὶ
πάλιν ἢ διὰ τοῦ ε̄ γραφὴ πιστοῦται τὸν λόγον· ἀπὸ γὰρ τῆς ἐμοῦ τὸ ἐμός, οὐκέτι δὲ ἀπὸ
τῆς μοῦ. ἄλλως τε οὐ ῥηταὶ κατ' ἰδίαν αἱ ἐγκλιτικαί· πῶς οὖν ἀπ' αὐτῶν παραγωγαί;

Ὀρθοτονοῦνται μόνως αἱ τῆς εὐθείας. καὶ
τούτου αἴτιον τὸ ἐν τοῖς ῥήμασιν ἀναπληροῦσθαι τὸ τῶν ἐγκλινομένων εὔχρηστον, ὅ ἐστιν
C ἑνὸς μόνου προσώπου παράγωγο, ὑπὲρ οὗ ἐντελέστερον εἴρηται ἐν τοῖς προδιειλεγμένοις. Ἀλλὰ μὴν καὶ αἱ γένους παραστατικαὶ κατὰ πᾶσαν πτῶσιν, ὑποστελλομένης τῆς αὐτός κατ'
αἰτιατικήν, ὑπὲρ ἧς εἰρήσεται κατὰ τὴν οἰκείαν
τάξιν. Αἱ μέντοι ὑπολειπόμεναι, καθὸ δεικτικαί, μόνως καὶ ὀρθοτονοῦνται, εἴγε καὶ ἡ δεῖξις ἐν διαστολῇ προσώπων γινομένη οὔ ποτε
ἀνίησι τὸν τόνον, μᾶλλον δὲ ῥώννυσιν. αἱ γοῦν

διὰ τοῦ ῑ ἐπεκτεινόμεναι καὶ ἔτι τὴν δεῖξιν A
ἐπιτείνουσαι καὶ τὸ τέλος ὀξύνουσιν, ἐκεινοσί,
οὑτοσί. καὶ δῆλόν ἐστιν, ὡς ἕνεκα τῆς δεικτι-
κῆς ἐκφορᾶς ἡ τοιαύτη ἐπέκτασις, τῷ μὴ τὴν
αὐτὸς ἐπεκτείνεσθαι, καθὸ οὐδὲ ὅλως δεικτική.
Τούτῳ γὰρ τῷ λόγῳ καὶ αἱ μετὰ τῆς ἐπιταγ-
ματικῆς μόνως ὀρθοτονοῦνται· πάλιν γὰρ πλείων
ἡ διαστολὴ τοῦ προσώπου· ἐμοῦ γὰρ αὐτοῦ
ὁρῶντος, ἐμὲ αὐτὸν ἔτυψε. Παραπεμπτέον
γὰρ τοὺς ὑπολαμβάνοντας ἕνεκα γένους παρει-
λῆφθαι τὴν αὐτός, ἐπεὶ ἀδιάστολοί εἰσιν αἱ B
πρωτότυποι γένους. πρῶτον γὰρ οὐ προσδέον-
ται γένους, τῆς ἐν αὐτῆς δείξεως συνεξηγουμέ-
νης τὸ γένος· ἔπειτα τί φήσουσιν ἐπὶ τοῦ οὗ-
τος αὐτός καὶ ἐκεῖνος αὐτός; οὐ γὰρ καὶ ἐν-
ταυθοῖ ἀδιάστολον τὸ γένος. Ἀλλ' ἴσως ταῖς
κατὰ τὸ τρίτον ἀδιαστόλοις γένους οὔσαις, εὐ-
λόγως συνταχθήσονται ἕνεκα γένους· οὐδὲ γὰρ
ἔστι καὶ ἐπὶ τούτων λέγειν, ὡς ἡ δεῖξις τὸ γέ-
νος ἐξηγεῖται· ἄπεστι γάρ. Ἀλλ' οὐδ' ἐπὶ τού-
των ἕνεκα γένους ἡ παράθεσις. ἀναφερόμεναι C
γὰρ ἐπί τι πρόσωπον προεγνωσμένον αἱ κατὰ
τὸ τρίτον παραλαμβάνονται· ἐν ᾧ δὲ ἔγνω-
σται, ἐν τούτῳ οὐκ ἄδηλον τὸ γένος. οὐκ ἄρα
οὐδὲ ταῖς κατὰ τὸ τρίτον ἕνεκα γένους παρα-
τίθεται. Οὐκ ἀγνοῶν δὲ τὰς ἐγκλινομένας
κατὰ τὸ τρίτον μετὰ τῆς αὐτός ταὐτά φημι·
ἐγκέκλιται γοῦν τὸ

ἀλλά οἱ αὐτῷ

A καὶ

Εὐρύαλος δέ ἑ αὐτόν;

φήσει γάρ τις, εἰ ταῖς ὀρθοτονουμέναις συντάσ-
σεται ἕνεκα διαστολῆς, πῶς οὐκ ὀρθοτονουμέ-
ναις συντέτακται; λείπεται οὖν ὡς διὰ τὸ γέ-
νος. ἀλλὰ δειχθήσεται ὡς πολλάκις ὑπὸ ποιη-
τικῆς ἀδείας παρέλκεται ἡ αὐτός,

καὶδ δέ μιν αὐτόν,

ἠέ μιν αὐτόν,

καθὸ καὶ ἐπ' ἄλλων λέξεων αἱ παρολκαί.
B ἔπειτα εἰρήσεται, ὡς καὶ τὰ τῆς ἀναγνώσεως
παράλογα, ὅταν ἐφιστάνωμεν ὑπὲρ τῶν κατὰ
τὸ τρίτον, εἰ ὀρθοτονηθεῖσαι πάντως ἀνταναν-
κλασθήσονται.

Αἱ δυϊκαὶ τοῦ πρώτου καὶ δευτέρου πά-
σης πτώσεως ὀρθοτονοῦνται. Ὑπὲρ μὲν οὖν
τῆς εὐθείας οὐ χρὴ παλιλλογεῖν, ὑπὲρ δὲ τῶν
λειπομένων ἐκεῖνο ἂν αἴτιον εἴη, τὸ πᾶν μόριον
ἐγκλιτικὸν ἤτοι ἀπὸ περισπωμένου ἢ ἀπὸ ὀξυ-
τόνου ἐγκεκλίσθαι· ἀπὸ γὰρ βαρυτόνου ἀδύ-
C νατον· πῶς, ἦλθέ πως, Ἀρίσταρχός ποτε, ἄνθρωποί εἰσι· καὶ ἐπὶ τῶν ὑπολειπο-
μένων τὸ αὐτό. εὐλόγως οὖν διὰ τὴν ἐπὶ τέ-
λους βαρύτητα ἡ ἔγκλισις οὐκ ἦν. καὶ γὰρ
κατὰ τοῦτον τὸν λόγον ἡ ἐκεῖνος καὶ οὗτος πά-
λιν μόνως ὀρθοτονοῦνται, τῆς αὐτός ἀκωλύ-
τως καὶ εἰς ἔγκλισιν ἐμπιπτούσης. Οὐ μά-
χονται αἱ Ἰακῶς διηρημέναι, λέγω δὲ τὴν ἐμέο
καὶ ἡμέων καὶ τὰς συζύγους· οὐ γὰρ φύσει

βαρυτονοῦνται, ἀπὸ δὲ περισπωμένων καὶ ἐντελεστέρων διηρημέναι εἰσίν.

Αἱ τῷ ῑ πλεονάζουσαι μόνως ὀρθοτονοῦνται, ἐμεῖο, σεῖο, εἶο· ἀπὸ γὰρ ὀρθοτονουμένων τὸν πλεονασμὸν ἀνεδέξαντο τοῦ ῑ. ὅτι δὲ τὸ λεγόμενον ἀληθές, σαφὲς ἐντεῦθεν. πᾶν τὸ ἐν πλεονάσματι ἢ ἐλλείψει πολὺ πρότερον ἐν ὁλοκλήρῳ καθειστήκει· πόθεν γὰρ ἡ διάγνωσις τοῦ πάθους ἐμφανής, εἰ μὴ καὶ τὸ τοῦ ὁλοκλήρου σχῆμα ἐν τελειώσει ἐγινώσκετο; εἰ οὖν ἐντελεῖς αἱ ὀρθοτονούμεναι τῶν ἀντωνυμιῶν, καὶ ὁ ἀπὸ τούτων πλεονασμὸς οὐκέτι ἐπ' ἄλλων ἢ ἐπὶ τῶν ὀρθοτονουμένων.

Ὁμοίως καὶ αἱ σύνθετοι· καὶ γὰρ αὗται ἀντιδιασταλτικαί. τὸ γὰρ παρὰ τῇ οἰκίᾳ μου ἕστηκα ἐγκλινόμενον διαφέρει τοῦ παρὰ τῇ ἐμαυτοῦ οἰκίᾳ, ἧ τὸ μὲν διαστέλλει τὸ οὐ τῇ τούτου, τὸ δὲ ἀπόλυτον. καὶ καθὸ ἀδύνατον ἐγκλιτικὸν συντεθῆναι, διὸ καὶ παρὰ Ἀττικοῖς τὸ πώποτε ἐσημειοῦτο. ὑγιῶς οὖν καὶ ἀπ' ὀρθοτονουμένων ἡ σύνθεσις καὶ μόνως ὀρθοτονοῦνται.

Ὁμοίως καὶ αἱ τῷ ε̄ πλεονάσασαι μόνως ὀρθοτονοῦνται, οὐκ ἄλλῃ αἰτίᾳ ἢ τῇ εἰρημένῃ.

Αἱ δυϊκαὶ πρώτου καὶ δευτέρου προσώπου ὀρθῆς πτώσεως οὐκ ἐγκλίνονται, φωνῇ τε καὶ δηλουμένῳ. δηλουμένῳ μέν, ὅτι οὐδεμία εὐθείας ἀντωνυμία ἐγκλίνεται· φωνῇ δέ, ὅτι πᾶσα ἀντωνυμία ἐγκλινομένη ὀξύτονός ἐστιν ἢ περ-

A περισπωμένη. Συνεμπεπτώκει δὲ τῇ ὀρθῇ ἡ αἰτιατική. Γενικὴ δὲ καὶ δοτικὴ οὐκ ἐγκλίνονται φωνῆς ἕνεκεν.

Μόνως ἐγκλίνονται αἱ τοῦ τρίτου δυϊκαί, καὶ ἡ μίν, αἵ τε μονοσύλλαβοι σφίν καὶ σφέ, ἥ τε διὰ τοῦ τ̄ τοί.

Αἱ ὑπολειπόμεναι καὶ ὀρθοτονοῦνται καὶ ἐγκλίνονται. Αἱ μὲν οὖν ὀρθὸν τόνον εἰληχυῖαι τὸ πλέον ἕνεκα σημαινομένου ὀρθοτονοῦνται, ἔσθ' ὅτε δὲ ἡ σύνταξις ἢ τόπος ἢ ποιητικὴ
B ἄδεια ὀρθοτονοῦσι τὰς ἀντωνυμίας· καὶ ἐπὶ μὲν συντάξεως

ἦ νύ σέ που δέος ἴσχει·

τὸ γὰρ ποῦ ἐγκλιτικὸν αἴτιον τοῦ τὴν σέ ὀξύνεσθαι. ἐπὶ δὲ τόπου

ἐμὲ δ' ἔγνω καὶ προέειπεν·

ἀπολύτου γὰρ οὔσης τῆς σημασίας, καθὸ καὶ

ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο,

ὅμως διὰ τὸ ἄρχον ἡ ἀντωνυμία ὠρθοτονήθη, εἴγε ἀδύνατόν ἐστιν ἐγκλινόμενόν τι ἀρκτικὸν
C τίθεσθαι· πῶς γὰρ ἔτι ἐγκλινόμενον τὸ μὴ δυνάμενον τὸν ἴδιον τόνον ἐπί τι προκείμενον μεταθέσθαι; ἀλλὰ μὴν καὶ τὸ

οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι

ὁμολογεῖ τὸν ὀρθὸν τόνον διὰ τῆς τοῦ ε̄ γραφῆς, καὶ φαίνεται ὅτι διὰ ποιητικὴν ἄδειαν, τοῦ σημαινομένου οὐκ ἐπείγοντος. Αἱ μέντοι ὑπολειπόμεναι τῶν ὀρθοτονουμένων ἔχουσι πρὸς τὸ σημαινόμενον τὸ αἴτιον. Καὶ γενικὸν μὲν

τὸ πρός τι λαμβάνεσθαι, εἰδικὸν δὲ τὸ ἀντι- A
διασταλτικῶς,

σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί·
σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχήν·

πρὸς τὸ

ἄλλους μὲν γὰρ παῖδας.

ὅ τε προκατάρξας χάριτος καὶ παρὰ τὸ δέον παθὼν ὀρθῇ τάσει προσχρῆται, ἐμὲ ἐτόλμησας λοιδορῆσαι, ἐμφαίνων ὡς ἄλλον ἐχρῆν ἢπερ αὐτόν. ὅ τε ἀμοιβὴν ὕβρεως αἰτῶν ὀρθῇ τάσει πολλάκις χρῆται, δεῖ ἐμοῦ ὁρῶν- B
τος αὐτὸν αἰκίζεσθαι, καὶ τούτῳ δὲ πάλιν ἐμφαίνων, ὡς οὐκ ἄλλου μᾶλλον ἢ ἐμοῦ.

Ἀλλὰ μὴν καὶ αἱ συμπλεκόμεναι, καὶ ἐμοῦ, καὶ ἐμέ. πιστούσθω δὲ ὁ λόγος οὕτως. εἰ ἐκτὸς τῆς συμπλοκῆς ἡ ἀντωνυμία γένοιτο, πάντως τότε καὶ ἀπόλυτος γενήσεται, δός μοι καὶ Ἀπολλωνίῳ· εἰ δὲ ἀντιστραφήσεται, πάντως καὶ ὀρθοτονηθήσεται, δὸς Ἀπολλωνίῳ καὶ ἐμοί. ὅθεν τὸ

καί μοι τοῦτ' ἀγόρευσον C

ἐγκλίνεται οὐ συμπλακέν, τοῦ ἐξῆς ὄντος καὶ τοῦτό μοι ἀγόρευσον. καὶ ἔτι

καὶ με φίλησεν·

καὶ ἐφίλησέ με, καὶ τὰ τούτοις ὅμοια. ὡς γὰρ αἱ ἀντωνυμίαι οὐ συμπλεκόμεναί εἰσιν, εἰρήσεται μικρὸν ὕστερον.

Ὁμοίως καὶ αἱ διεζευγμέναι, ἢ ἐμοὶ ἢ τῷδε, ἢ ἐμὲ ἢ τόνδε. Καὶ διὰ τοῦτό φασι τὸ

ἢ μ' ἀνάειρ' ἢ ἐγὼ σέ A

ἐγκλιθὲν παράλογον· οὐδὲν γὰρ ἐκώλυεν ὀρθοτονεῖν, τοῦ κατ' ἀρχὴν ἓ συναλληλιμμένου ὡς ἐπὶ τοῦ τιμῇ, τῶμῷ. καὶ φαίνεται ὡς μονοσυλλαβήσασα ἡ μέ δελεασμὸν ἐποίει τῆς ἐγκλιτικῆς ἀναγνώσεως. Ἴσως δὲ πρὸς ταῦτα φήσει τις, ὡς ἡ ἀνάγνωσις καλῶς ἔχει, οὐ διαζευχθείσης τῆς ἀντωνυμίας, ἐν ὑπερβατῷ δὲ κειμένης, ὥστε τὸ ἐξῆς εἶναι ἢ ἀνάειρέ με, καθάπερ καὶ ἐπὶ τῶν συμπλεκομένων τὸ

καί μοι τοῦτ' ἀγόρευσον B

ἐνεκλίναμεν, τοῦ ἐντελοῦς ὄντος καὶ τοῦτό μοι ἀγόρευσον. Λείπεται πρότερον διεσκέφθαι, πῶς αἱ ἀντωνυμίαι ἢ συμπεπλεγμέναι ἢ διεζευγμέναι εἰσίν· οὐ γὰρ ψιλῇ παρατηρήσει τὰ τοιαῦτα δεῖ διακρούεσθαι. τὰ δὴ συμπεπλεγμένα ἢ διεζευγμένα κατὰ τὴν ἐπιφορὰν πάντως τὸ αὐτὸ μέρος λόγου ἀπαιτεῖ ἢ ἰσοδυναμοῦν τῷ συμπεπλεγμένῳ ἢ διεζευγμένῳ, οἷον τὸ καὶ Ἀπολλώνιος διελέξατο, ἤτοι Ἀπολλώ- C
νιος διελέξατο, ἀπαιτεῖ τὸ καὶ Διονύσιος ἢ τι τοιοῦτον ὄνομα ἢ ἀντωνυμικόν, ὅπερ ἦν ἰσοδυναμοῦν ὀνόματι, κοινῷ τε τῷ διελέξατο πολλάκις προσχρῆται. εἰ δὲ ῥῆμα ἦν, πάλιν ἡ ἐπιπλοκὴ ἢ ἡ διάζευξις ἀπαιτεῖ ῥῆμα, καὶ ἔγραψε Διονύσιος, ἤτοι ἔγραψε Διονύσιος· δεῖ γὰρ ῥῆμα ἐπενεγκεῖν πάλιν, ἢ διελέξατο ἢ τι τοιοῦτον, κοινῶς πολλάκις νοουμένου τοῦ Διονύσιος. τὸ οὖν ἢ μ' ἀνάειρ' εἴπερ

διεζεύχθη τὸ ῥῆμα, κἂν πάντως ῥῆμα ἐπεφέ- A
ρετο τὸ ἄπιθι ἢ κάθισον ἤ τι τοιοῦτον· ἐν ᾧ
οὖν τὸ ἢ ἐγὼ σέ ἐπιφέρεται, ἐν τούτῳ δείκνυται,
ὡς καὶ ἡ ἀντωνυμία διέζευκται, ἡ μὲν σέ πρὸς
τὴν ἐμέ, ἡ δὲ σύ πρὸς τὴν ἐγώ, ἥτις ἐνέλειψεν,
ἐν τῷ ἀναίρε ῥήματι νοουμένη, τοῦ πλήρους
ὄντος ἢὲ σὺ ἐμὲ ἀναίρε. Ὁμόλογοι δὴ καὶ αἱ
τοιαῦται, ὡς τὴν πρός τι πρόσωπον διαστο-
λὴν ἀναδεδεγμέναι εἰσίν.

Ὀρθοτονοῦνται καὶ ὅσαι κατὰ τοῦ αὐτοῦ
πρόσώπου τὴν ἀπὸ τοῦ ῥήματος διάθεσιν ἀνα- B
δέχονται, ὡς ἐπὶ τοῦ

οὐδ' ἐμέ φημι λελασμένον

καὶ

ἦ ὀλίγον οἷ παῖδα ἐοικότα

καὶ

ἐμὲ λύσομαι·

ἀντὶ γὰρ συνθέτων τοῦ ἐμαυτόν καὶ ἑαυτῷ.
πάλιν δὴ τὸ ἐμὲ λύσομαι πρὸς τὸ οὐκ ἄλλον
διαστέλλεται.

Ὁμοίως αἱ προθέσεις παρατιθέμεναι ὀρ- C
θοτονοῦσι, κατ' ἐμέ, δι' ἐμέ, περὶ ἐμοῦ.
Διὸ καὶ τοῖς ἀξιοῦσιν ὀρθοτονεῖν τὸ

. . σὺν καὶ τρίτος ἁμὶν Ἀμύντας

παρὰ Θεοκρίτῳ συγκαταθετέον. τὰ γὰρ ἐν
ὑπερβατῷ κείμενα ὀφείλει τὸν λόγον ἀναδέχε-
σθαι τῆς κατὰ φύσιν ἀκολουθίας, εἴγε πάλιν
τὸ καί μοι καί με ἐνεκλίναμεν, καθὸ οὐ συμ-
πέπλεκται.

Ἑξῆς ῥητέον καὶ περὶ τῶν κατὰ τὸ τρίτον

πρόσωπον ὀρθοτονουμένων, εἰ πάντοτε ἡ με- A
τάληψις αὐτῶν τὸ σύνθετον σχῆμα ἀπαιτεῖ,
καθάπερ ἐπὶ τοῦ

ἦ ὀλίγον οἷ παῖδα

καὶ

κάλεόν τέ μιν εἰς ἕ ἕκαστος,

τῶν τε παραπλησίων. τὸν γὰρ Ἀρίσταρχον καὶ
τοὺς ἀπὸ τῆς σχολῆς, ὡςεὶ νόμον θεμένους τὸ
τοιοῦτον ἀνάγνωσμα, δεῖ παραπέμψασθαι τὸ

οἷ τ' αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἓκ θέσφατα

B ἤδη,

καθὸ ὀρθοτονούμενον τὴν σύνθετον ἀντωνυμίαν
ἀπαιτεῖ, τοῦ λόγου οὐ δυναμένου κατὰ τοῦτο
συνίστασθαι· καὶ διὰ τοῦτο τοὺς μὲν μετα-
γράφειν τὸ ἔτευξαν, τοὺς δὲ ὑπερβατὸν ἐκδέ-
χεσθαι, ὃς καὶ Ἀλεξάνδρῳ τεκτηνατο νῆας
εἶσας, οἷ τ' αὐτῷ, αἳ κακὸν καὶ πᾶσι Τρώεσσι
γένοντο, ἵν' ᾖ Ἀλεξάνδρῳ καὶ ἑαυτῷ τεκτήνατο.
καὶ σαφές ἐστιν ἕνεκα τούτου, ὅτι τὸ

. . . . . ἀλλὰ οἷ αὐτῷ

C Ζεὺς ὀλέσειε βίην

κατ' ἔγκλισιν ἀνέγνωστο, καίτοι ὀφεῖλον κατὰ
δύο τρόπους ὀρθοτονεῖσθαι, καθὸ καὶ ἐπιτα-
γματικὴ σύνεστι, καὶ διαστέλλεται ἐν τῷ

πρὶν ἡμῖν πῆμα γενέσθαι.

Οἶμαι δὲ ὡς οἱ παλαιπωρότερον ἀναστρεφόμε-
νοι τὸ ἀκριβὲς τοῦ λόγου οὐ διέγνωσαν. πρῶ-
τον γάρ, εἰ καὶ ἀληθὲς ἦν τὸ τὰς ὀρθοτονου-
μένας κατὰ τὸ τρίτον ἀνταναπλᾶσθαι, οὐ πάν-
τως τὸ οἷ τ' αὐτῷ παράλογον· ἐδείχθη γὰρ ὡς

παρὰ τόπον τεθεῖσαι αἱ ἐγκλιτικαί, τουτέστιν A
ἀρκτικαὶ γινόμεναι, ὀρθοτονοῦνται, ὡς ἐπὶ τοῦ

ἐμὲ δ' ἔγνω καὶ προσέειπεν

καὶ τῶν παραπλησίων. ἔπειτα καὶ συνεπέπλεκτο ὁμοίως τῷ

ἐμοί τε καὶ Ἥρῃ.

ἀλλὰ μὴν καὶ ἡ αὐτὸς ἐπιτασσομένη ὀρθοῦ τόνου παραιτία ἐγένετο· καὶ ὁ τέ σύνδεσμος, ἐγκλιτικὸς ὢν, τὴν πρὸ αὐτοῦ λέξιν ὀξύνει, ὅτε βαρεῖά ἐστιν ἡ ὀξεῖα· περισπωμένην γὰρ οὖσαν φυλάσσει. τά τε τῆς ἀναγνώσεως οὐκ B
ἐξωμάλισται· πολλαὶ γὰρ ὀρθοτονηθεῖσαι ἀνταναπλασμὸν οὐκ ἐδέξαντο·

ἀλλὰ τόδ' ἤμεν ἐμοὶ πολὺ κάλλιον ἠδὲ
οἱ αὖτῷ

ἔπλετο.

. . . . ἀμυνέμεναι δέ οἱ αὐτῷ·

τὸ γὰρ νοούμενόν ἐστι, μὴ πεισάτω σε Ὀδυσσεὺς ἡμῖν μὲν μάχεσθαι, αὐτῷ δὲ βοηθεῖν·

ὅς τις οἵ τ' ἐπέοικε·

τουτέστιν αὐτῷ· C

τοὺς δ' ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκη·

τουτέστιν οἱ αἰχμάλωτοι ἤγοντο εἰς ὑπηρεσίαν τῶν ἐπικρατησάντων. τό τε

τίς κ' οἴοιτο . . .

μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,

οἵ τεύξειν θάνατον

A πάντως εἰς ἁπλῆν ἀντωνυμίαν μεταληφθήσεται· ὁ γὰρ Ἀντίνους οὐχ ὑπελάμβανεν, ὡς θάνατον αὐτῷ κατασκευάσειεν ἐν πολλοῖς παραγενόμενος, ὁμοίως τῷ

πρόσθε ἔθεν φεύγοντα·

οὐ γὰρ πρὸ ἑαυτοῦ τις φεύγει. Ῥητέον ὑπέρ τε τῶν κατὰ τὸ τρίτον πρόσωπον εἰς ἁπλοῦν σχῆμα μεταλαμβανομένων καὶ τῶν εἰς σύνθετον, τουτέστιν ἀνταναπλωμένων.

Συμβέβηκε τοίνυν τὰς ἀπὸ τῶν εὐθειῶν
B δράσεις μετιούσας ἐπὶ τὰς πλαγίους ἢ ἐν μεταβάσει προσώπων νοεῖσθαι ἢ κατὰ τοῦ αὐτοῦ προσώπου τὴν μετάβασιν ποιεῖσθαι. τοῦ μὲν προτέρου Ἀριστοφάνης Ἀρίσταρχον ἐδίδαξεν, ἐγὼ σὲ ἐτίμησα, σὺ ἐμοὶ διελέξω· ἢ καὶ διὰ μόνων τῶν ῥημάτων ἡ εὐθεῖα νοουμένη μέτεισι πάλιν ἐπὶ τὰς πλαγίους, ἔδωκά σοι, ἐτίμησά σε. τοῦ δὲ δευτέρου Φήμιος ἑαυτὸν ἐδίδαξεν· ἡ γὰρ τοῦ διδάσκειν μετάβασις οὐκ ἐφ' ἕτερον πρόσωπον
C συντείνει ἢ ἐπὶ τὸν Φήμιον. Αἴας ἑαυτὸν ἐχειρώσατο· πάλιν γὰρ τὸ ἐχειρώσατο ἐπὶ τὸ Αἴας διαβιβάζεται. ταῖς μὲν οὖν τοιαύταις συντάξεσι παρακολουθεῖ διὰ μιᾶς καὶ τῆς αὐτῆς φωνῆς τὸ διαβατικὸν πρόσωπον δηλοῦν καὶ τὸ αὐτοπαθές. τὰ γοῦν Ὁμηρικά, ἀρχαϊκώτερα ὄντα, ἀεὶ ἐν ἁπλαῖς ἀντωνυμίαις καὶ τὰ ἀμετάβατα τῶν προσώπων ἔχει καὶ τὰ μεταβατικά· ἐμὲ γὰρ λύσομαι εἷς καὶ ὁ αὐ-

τός, ἐμὲ δ' ἔγνω μεταβατικῶς, ὅ τε γνω- A
σθεὶς καὶ ὁ γνούς. ὕστερον δὲ τὰς συνθέτους
προσφιλοτεχνηθείσας συμβέβηκεν ἀπενέγκα-
σθαι τὴν τῶν ἀμεταβάτων προσώπων σημα-
σίαν, τὰς δὲ ἀσυνθέτους ἐν μεταβάσει· διὸ καὶ
αὐτοπαθεῖς τὰς συνθέτους τινὲς ἐκάλεσαν, ἀλ-
λοπαθεῖς δὲ τὰς ἁπλᾶς. τὰς μὲν οὖν κατά
τε τὸ πρῶτον καὶ δεύτερον πρόσωπον, συνήθεις
οὔσας, συνέβαινε μηδεμιᾶς ζητήσεως τυχεῖν,
ἅτε δὴ τῶν μὲν ἀσυνθέτων μεταβατικῶν οὐ-
σῶν, τῶν δὲ συνθέτων οὐ μεταβιβαζομένων B
εἰς ἕτερον πρόσωπον. τὰς μέντοι κατὰ τὸ τρί-
τον, λέγω δὲ τὴν ἵ καὶ τὰς συζύγους, ἀτρι-
βεῖς οὔσας, συνέβη κατὰ τὸ παλαιὸν διὰ μιᾶς
φωνῆς ἀμφοτέρας τὰς συντάξεις δηλοῦν, διὰ
τὸ τοὺς ποιητάς, τὸ πεπατημένον ἐκκλίνοντας,
αὐταῖς κεχρῆσθαι. χρὴ οὖν ἐφιστάντας τῇ
διαβάσει τοῦ ῥήματος, πότερον ἐπ' ἄλλο πρός-
ωπον συντείνει ἢ ἐπὶ ταὐτόν, μεταλαμβάνειν
τὰ τῶν ἀντωνυμιῶν συνήθη εἰς ἁπλῆν ἀντω-
νυμίαν, ὡς τὰ μεταβατικά, ἢ εἰς σύνθετον, C
ὡς τὰ ἀμετάβατα. Τούτῳ γὰρ τῷ λόγῳ καὶ
τὰς ἐν παραθέσει μετὰ τῆς αὐτός ἐπιταγμα-
τικῆς εἰς σύνθετον μεταλαμβάνομεν, ὅτε καὶ
τὰ τῶν ῥημάτων ἰσάριθμα εἴη καὶ ὁμοιο-
πρόσωπα, καθάπερ τὸ

σὲ γὰρ αὐτὴν παντὶ ἐΐσκεις

καὶ τὸ

νόστον ἑταίροισι διζήμενος ἠδ' ἐμοὶ αὐτῷ

A καὶ

ἐμέθεν περιδώσομαι αὐτῆς,

εὐλόγως τοῦ τοιούτου παρακολουθοῦντος· εἷς
γὰρ καὶ ὁ αὐτὸς ὁ διατιθεὶς καὶ ὁ διατιθέ-
μενος. τὰ μέντοι ἐν διαβάσει ἑτέρου προσώπου
ὀρθῶς πάλιν καὶ κατὰ τοὺς ἀριθμοὺς διαλ-
λάσσει καὶ κατὰ τὰ πρόσωπα· ἀδιαφορεῖ γὰρ
ἢ ἕνα δρᾶν ἢ πλείους, ἢ ὑφ' ἑνὸς δρᾶσθαι ἢ
ὑπὸ πλειόνων. ἢ πλείονες ἐμὲ τύπτουσιν, ἢ
ὑμᾶς τύπτει. διὸ καὶ τὰ τοιαῦτα ἀσυνέλευ-
B στα κατὰ τὴν παράδοσιν

ἦέ τι Μυρμιδόνεσσι πιφαύσκεαι ἢ ἐμοὶ
αὐτῷ·

σοὶ δ' αὐτῷ μελέτω·

. . . ὁμηλικίη δ' ἐμοὶ αὐτῷ·

. . . ἀνάσσονται δ' ἐμοὶ αὐτῷ·

. . . . ἠδ' ἐμοὶ αὐτῇ

ἕψεαι·

ὤμνυε δὲ πρὸς ἐμ' αὐτόν,

ἀποστροφῇ τοῦ μ̄, ἵν' ἡ σύνθετος ἀπεμφαίνη-
C ται. ὅμοιον τὸ

οὐδ' εἴ κεν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι
ἀνώγοι

καὶ

εἰ μή τις σ' αὐτὸν κτείνῃ δόλῳ ἠὲ βίηφιν.

τὸ δὲ μεῖζον· παραλόγως ἐνεκλίθη τὸ

εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν
ἑλέσθαι,

εἴγε αἱ μετὰ τῆς ἐπιταγματικῆς ὀρθοῦ τόνου

ἔχονται· καὶ τὸ ἀνάγνωσμα οὐκ ἀπόβλητον, Α
καθὸ τὴν σύνθετον ἐνέφαινεν ὀρθοτόνως ἀνα-
γνωσθέν. καὶ ἔτι τὸ

μήτε ἐμῶ αὐτᾶς μήτε κασιγνήτων πό-
δας ὠκέας τρύσῃς

διέσταλκε δυσὶ περισπωμέναις· ἠδυνάτει γὰρ
συντεθῆναι διὰ τὸ ἐπιφερόμενον ῥῆμα. πῶς
οὖν οὐχὶ βίαιον τὸ τὰς διεσταλμένας κατὰ
παράθεσιν βιάζεσθαι εἰς σύνθετον, τοῦ λό-
γου οὐκ ἀπαιτοῦντος; Δέον οὖν, ὡς προείρη-
ται, τὰ ἐν δυσὶ τρίτοις νοούμενα, εἴτε κατ' Β
ἀπόλυσιν, ὡς τὸ ἐγκλινόμενον, εἴτε κατ' ὀρ-
θὸν τόνον ἀνεγνώσθη ἕνεκα διαστολῆς ἢ ἄλλης
τινὸς συντάξεως, εἰς ἁπλᾶς μεταλαμβάνειν·
τὰ δὲ ἐν τρίτῳ καὶ ἐν ταὐτῷ εἰς συνθέτους,
ἅπερ ἂν εὑρεθείη πάντως κατ' ὀρθὸν τόνον,

. . . ἕο δ' αὐτοῦ πάντα κολούει·
. . . ἕε δ' αὐτὸν ἐποτρύνει·
. . . . εἰ γὰρ ἔμελλεν
οἵ τ' αὐτῷ θάνατόν τε κακόν

ἐπὶ γὰρ Πατρόκλου ἥ τε ἀντωνυμία καὶ τὸ C
ῥῆμα. Ἔτι εἰ αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον
ὀρθοτονούμεναι ἀντιδιαστολὴν ἀναδέχονται, τί
τὸ ἐμποδὼν τὸ καὶ ἐπὶ τρίτου τὴν ἀντιδιαστο-
λὴν δικεῖν; καὶ ὃν τρόπον τὸ καὶ ἐμοὶ ἐγέ-
νετο, καὶ σοὶ ἐγένετο ἀμεταλήπτα εἰς σύν-
θεσιν, οὕτω καὶ οἵ τ' αὐτῷ. Ἀλλὰ καὶ αἱ
κατὰ τὸ τρίτον εἰς σύνθετον μεταλαμβάνονται.
Τί δέ; οὐχὶ καὶ αἱ κατὰ τὸ πρῶτον καὶ δεύ-

Α τερον, καὶ εἰ σπανιάκις, ἀλλ' οὖν γε μετα-
λαμβάνονται;

αὐτὸν μὲν σὲ πρῶτα σάου·
. . οὐδ' ἐμέ φημι λελασμένον·

καὶ

. . . . ἐμὲ λύσομαι.

εἴρηταί τε καὶ ἡ αἰτία τοῦ τὰς κατὰ τὸ τρί-
τον πλείονας εἶναι.

Καὶ αἱ κτητικαὶ δὲ ὁμοίως μεταληφθήσονται εἰς συνθέτους ἢ εἰς ἁπλᾶς, προληπτι-
Β κώτερον πάλιν τινῶν ὑποστησαμένων τὸ μόνον εἰς συνθέτους αὐτὰς μεταλαμβάνεσθαι. Ἔχει δὲ τὰ τοῦ λόγου ὧδε. ἐπὰν μὲν ἡ διάβασις τοῦ ῥήματος ἀπὸ τῆς γενικῆς, ἥτις ἐκ τῆς κτητικῆς μεταλαμβάνεται, τὴν διάβασιν ἐπὶ τὸ αὐτὸ πρόσωπον ποιῆται, πάντως εἰς σύνθετον μεταλαμβάνεται· ἐπὰν δὲ τὸ ῥῆμα μὴ ἀπὸ τῆς γενικῆς νοῆται, ἀπὸ δέ τινος προσώπου, τότε καὶ ἁπλῆ ἡ ἀντωνυμία. τοῦ μὲν οὖν προτέρου

C δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
οἷο κασιγνήτοιο Λυκάονος·

τοῦ ἑαυτοῦ ἀδελφοῦ ἐνέδυ χιτῶνα·

πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ καὶ πα-
τέρι ᾧ·

τῷ ἑαυτοῦ. τοῦ δὲ δευτέρου

οὕνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενος
θεράπευον·

οὐ γὰρ ἐθεράπευον αὐτοῦ τὸν πατέρα, τοῦ ῥή- A
ματος ἀποστάντος τῆς γενικῆς. ὁμοίως

ὁ δ' ἐὸς δόμος (ὁ τινὸς ὅτε με) ἀμφε-
κάλυψεν·

διὸ εἰς ψιλὸν μετάγεται τὸ αὐτοῦ.

. . . . τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
ἦ κεφαλῇ φορέειν·
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεος εἵνεκα οἷο·

πάλιν ἐπὶ τοῦ

αὐτὰρ ὅγ' ὃν φίλον υἱὸν ἐπεὶ κύσε B
σύνθετος· τὸν γὰρ ἑαυτοῦ ἔκυσε παῖδα. ὅθεν
τινές, πάλιν ἀγνοήσαντες τὸ μεταβατικόν, τὸ

αἴτει δ' οἰωνὸν ἐὸν ἄγγελον

μεταγράφουσιν εἰς τὸ ταχὺν ἄγγελον, ἢ τὸν
ἀγαθὸν ἐκδέχονται. καὶ ἐπὶ αἰτιατικῆς

τὸν ξεῖνον πέμπωμεν ἑὴν ἐς πατρίδα
γαῖαν.

φασὶ δὲ καὶ τὸν Ἀρίσταρχον ἀσμένως τὴν
γραφὴν τοῦ Δικαιάρχου παραδέξασθαι· ἐν γὰρ
ἁπάσαις ἦν τὸ ἑὴν ἐς πατρίδα γαιη, ὑπολα- C
βόντα τὸ ἑαυτοῦ νοεῖσθαι ἐκ τοῦ ἑῇ, δέον πα-
λιν ψιλῶς μεταλαμβάνειν. δῆλον οὖν ὡς τὸ

ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πο-
λεμίζειν

θάρσεϊ ᾧ

ἀμφίβολον. εἰ γὰρ εἰς ἁπλῆν μεταληφθήσε-
ται, ἔσται ὁ θυμὸς ἀνῆκέ με τῷ ἐκείνου θάρ-
σει πολεμεῖν, ὅπερ πάλιν ἐν διαβάσει νοεῖται·

εἰ δὲ εἰς σύνθετον, γενήσεται τῷ ἑαυτοῦ θάρ- A
σει ἀνῆκέ με πολεμεῖν, καὶ τὸ ῥῆμα ἐκ τῆς
γενικῆς ἀπήρτηται. ὁμοίως καὶ τὸ

Νέστωρ φάσχ' ὁ γέρων, ὅτ' ἐπιμνη-
σαίμεθα σεῖο

οἷσιν ἐνὶ μεγάροισιν·

εἰ δὲ οὐ εἰς ἁπλῆν τὴν αὐτοῦ. οὕτως εἶχε καὶ
τὸ ἐν Ἰσθμιονίκαις Πινδάρου

Αἰολίδαν δὲ Σίσυφον κέλοντο
ᾧ παιδὶ τηλέφαντον ὄρσαι
γέρας ἀποφθιμένῳ Μελικέρτᾳ· B

τῷ γὰρ παιδὶ τῆς Ἰνοῦς. πάλιν γὰρ ἀξιοῦν-
τες εἰς σύνθετον μεταλαμβάνειν τὴν ἑαυτοῦ,
ζητοῦσι τίνι ἀκολουθῶν Σισύφου υἱὸν αὐτὸν
ἔφη. οἱ δὲ βαρυτονοῦσι τὸ ᾧ Δωρικῶς, δεχό-
μενοι ἀντὶ τοῦ ὡς, ὁμοίως τῷ

ὡ τε χερνᾶτις γυνὰ ουδεν προ μαθι-
ουμενα.

οἱ δὲ εἰς τὴν οἱ πρωτότυπον μετάγουσιν, ἵνα
δοτικὴ ἀντὶ γενικῆς ἀκούηται, ὁμοίως τῷ

C Ἀχιλῆϊ δαμασθείς.

Χρὴ οὖν προσανέχοντας τῷ προκειμένῳ λόγῳ
μεταλαμβάνειν τὰς τοιαύτας τῶν ἀντωνυμιῶν
εἴς τε ἁπλᾶς καὶ συνθέτους, τὰ νῦν περιγρα-
φομένης τῆς πολλῆς παραθέσεως ὑπὲρ τοῦ μὴ
ἐπὶ πλέον προάγειν τὸν λόγον.

Ἑξῆς ἐπὶ τὰς κατὰ μέρος χωρητέον.

Ἡ Ἐγὼ τῆς Ἔγωγε Ἀττικῆς διαφέρει
συντάξει. ἡ μὲν γὰρ καὶ κατ' ἀρχὴν τοῦ λό-

γου τίθεται, καὶ καθ' ὑπόταξιν, ἡ δὲ ἔγωγε A
οὐ συνήθης εἰς ἀρχὴν λόγου παραλαμβάνεσθαι, καθὸ καταφατικωτέρα ἡ ἔγωγε· πολλάκι γοῦν καὶ κατά τινας ἐρωτήσεις συγκατατιθέμενοί φαμεν ἔγωγε ἐν ἴσῳ τῷ ἐγώ. Μεμπτέοι οὖν οἱ ὑπολαμβάνοντες τὴν μὲν ἀντιδιεστάλθαι, λέγω δὲ τὴν δισύλλαβον, τὴν δὲ ἐγκεκλίσθαι. καὶ ἴσως ἡ ἀφορμὴ ἐκ τοῦ ἀναβεβιβάσθαι τὴν τάσιν, τοῦ τε μὴ ἄρχειν λόγου, ἅπερ ἐγκλινομέναις παρηκολούθει. ἐδείχθη γὰρ ἐντελῶς ὡς ἀδυνατοῦσιν αἱ τῆς εὐθείας ἐγκλίνεσθαι B· διὸ καὶ τὸ

τί σὺ τόσσον ὀμίλου

μόνως ὀρθοτονητέον. ἄλλως τε αἱ ἐγκλινόμεναι τῶν ἀντωνυμιῶν οὐδέποτε προοισταί εἰσι κατ' ἰδίαν, καθάπερ αἱ ὀρθοτονούμεναι, ἀλλ' ἀεὶ μετά τινος μέρους λόγου παρατίθενται, δός μοι, τίμησόν με, καθάπερ καὶ ἄλλα τινὰ μέρη λόγου, ὡς αἱ προθέσεις, οἱ σύνδεσμοι, τὰ ἄρθρα. πῶς οὖν πρὸς τὰς ἐρωτήσεις φαμὲν κατ' ἰδίαν ἔγωγε; ὅτι δὲ καὶ διασταλτι- C
κῶς παραλαμβάνεται, δῆλον ἐκ τούτων,

οὔνεχ' ὁ μὲν καλός τε καὶ ἄρτιπος, αὐτὰρ ἔγωγε

καὶ

μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἔγωγε.

αἱ ἐγκλινόμεναι τῇ αὐτῇ καταλήξει χρῶνται, ἥπερ καὶ αἱ ὀρθοτονούμεναι· πῶς οὖν ἡ μὲν

A ἔγωγε εἰς γε λήγει, ἡ δὲ ἐγώ εἰς γω; Χρὴ δὲ νοεῖν ὅτι μόνον παρῆκται διὰ τῆς γε συλλαβῆς· οὐ γὰρ κεῖται ὁ γέ παραπληρωματικὸς οὔτε ἐν συνθέσει, ἐπεὶ ἀδύνατον ἐγκλιτικὸν συντίθεσθαι, οὔτε ἐν παραθέσει, ἐπεὶ μᾶλλον ὠξύνετο ἂν τὸ τέλος τῆς ἐγώ. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ ἔμοιγε· διὸ καὶ ἐπεζήτησαν ἔνιοι, διὰ τί καὶ ἐπὶ αἰτιατικῆς καὶ γενικῆς οὐκέτι. πρὸς οὓς ἂν φαιήμεν, ὡς οὐκ ἐξωμάλισται τὰ τῶν διαλέκτων, μάλιστα δὲ τὰ τῶν Ἀττικῶν. B ὅμοιος καὶ γέλοιος προπαροξύνοντές φασιν, ἀλλ' οὐκέτι τὰ τούτοις παραπλήσια· ἤμελλον καὶ ἠβουλόμην, ἀλλ' οὐκέτι πάντα τὰ παρατατικὰ οὕτως ἐπεκτείνουσι· καὶ ἐπ' ἄλλων πλείστων. τὸ αὐτὸ οὖν καὶ ἐπὶ τοῦ προκειμένου.

Δωριεῖς ἘΓΩΝ. Σώφρων· ἐγὼν δέ τυ καὶ πάλαι ὤψειον. καὶ ὁ ποιητὴς δὲ συνεχῶς διὰ τοῦ ν, ὅτε φωνῆεν ἐπιφέροιτο, σαφὲς ὅτι τὸ χασμῳδες τῶν φωνηέντων ἀναπληρῶν C τῇ τοῦ ν προσθέσει. κοινῇ δὲ προφορᾷ χρῆται ἐν τῷ

ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακόν

καὶ

ἀλλ' ἐγὼ οὐ πιθόμην·

καὶ τὸ ν οὐ προσέλαβεν, ἐπεὶ ἀνεπίδεκτον τὸ ἔπος κρητικοῦ εἰς σύμφωνον καταλήγοντος. Οὐ φύσει φασὶ τὴν ἀντωνυμίαν λήγειν εἰς ν, πλεονάζειν δέ, ἐπεὶ ἡ κατὰ τὸ δεύτερον δίχα τοῦ

ν̄, τύ. πᾶσα γὰρ ἀντωνυμία εἰς ν̄ λήγουσα κατὰ τὸ πρῶτον, πάντως καὶ κατὰ τὸ δεύτερον, ἐμέθεν-σέθεν, ἐμίν-τίν, ἡμῶν καὶ ὑμῶν. Πρῶτον διάλληλα τὰ τῆς ἐπιχειρήσεως. τί γὰρ οὐ μᾶλλον ἡ τύ ὠλιγώρηται, ὅτι εἰς ν̄ οὐ λήγει, ἢ ἡ ἐγών, ὅτι εἰς ν λήγει; δεύτερον μακροκατάληκτοι λέξεις οὐ πλεονάζουσι τῷ ν ἀδιαφόρως· τὸ γὰρ τοιοῦτον ἐν τῷ ἔλεγεν καὶ λέγουσιν, ἅπερ ἐν βραχυκαταλήκτοις. τρίτον ἐν ὁμοιοκαταλήκτοις ἡ μονὴ τοῦ ν̄ γίνεται, ἐμέθεν ἢ σέθεν, ἐμίν-τίν, τὸ δὲ ἐγών εἰς ω̄ν̄ λήγει, τοῦ δευτέρου διὰ τοῦ ῡ̄ ἐκφερομένου. ἔπειτα παρὰ Βοιωτοῖς τὸ λεῖπον ἀνεπληρώθη· ἰδοὺ γὰρ ΤΟΥ΄Ν.

Οἱ αὐτοὶ Δωριεῖς ἘΓΩΝΓΑ καὶ ἘΓΩ΄ΝΗ·

οὐ γὰρ ἐγωνγα ἄνασσα Διὸς θύγατερ, Ἀλκμάν. Αἰολεῖς βαρέως·

ἔγων δ' ἐμ' αὐτᾳ τοῦτο σύνοιδα Σαπφώ. Βοιωτοὶ ἸΩ΄Ν, ὡς μὲν Τρύφων φησίν, ὑφέσει εὐλόγῳ τοῦ γ̄, ἵνα καὶ τὰ τῆς μεταθέσεως τοῦ ε̄ εἰς ῑ̄ γένηται, ἐπεὶ φωνήεντος ἐπιφερομένου τὸ τοιοῦτον παρακολουθεῖ. ἀλλὰ μὴν καὶ ἐδασύνθη, ἐπεὶ δασύνεται τὰ φωνήεντα ἐν ταῖς ἀντωνυμίαις, ὅτε πρὸ φωνηέντων τίθενται, ἑός, ἑοῦ, ἑαυτῷ, ἑαυτόν, ἕοι. ὡς δὲ ἔνιοι, ὧν ἐστὶ καὶ ὁ Ἄβρων, θέμα ἐστίν, ὃ συζύγως οἱ αὐτοί φασι τῇ μὲν ἐγών τὴν ἰών, εἴγε τὸ παρὰ Δωριεῦσιν ε̄ εἰς ῑ̄ μεταβάλλεται, τῇ δὲ ἐγωνγα τὴν ἰωνγα. Κόριννα·

μέμ-

μέμφομαι δὲ καὶ λιγουρὰν Μυρτίδ' ἰωνγα, ὅτι βανὰ φοῦσ' ἔβα Πινδαρίοιο ποτ' ἔριν.

καὶ ἔτι

ἴωνει νδ' ἡρώων ἀρετὰς χειρωαδων.

Τρύφων φησὶ μηδ' ὅλως εὐθείας εἶναι τὴν ΣΥ, κλητικῆς δὲ μόνον, ἐν οἷς αἱ μὲν εὐθεῖαι τὸν περί τινος λόγον ἀναδέχονται, αἱ δὲ κλητικαὶ τὸν πρός τινα, ὅνπερ ἡ σύ ἀναδέχεται. ἔτι ὃν τρόπον ἡ ἐκεῖνος οὐκ ἔχει κλητικήν, διότι ἐν ἀποστήματί ἐστι, τῆς κλητικῆς κλῆσιν
B ἐπαγγελλομένης τοῦ πέλας, οὕτως οὐδὲ ἡ σύ εὐθείας, ἐπεὶ τὰ ἐναντία ἀνεδέξατο. αἱ κλητικαὶ δευτέροις προσώποις συντάσσονται, Ἕκτορ ἦλθες, Σώκρατες διελέξω· τοιοῦτον οὖν καὶ τὸ σὺ λέγε καὶ σὺ σκάπτε. οὐκ ἐπεὶ δὲ εὐθεία συντάσσεται ἐν τῷ σὺ ὁ λέγων, πάντως καὶ εὐθείας· ἰδοὺ γὰρ καὶ ἐπὶ ὀνομάτων, Ἀρίσταρχε αὐτὸς γέγραφας.
C οὐ πάσης πτώσεως εὐθεῖα, τοῦ ἀλλήλους, τοῦ ἐμαυτοῦ, ὥστε καὶ τῆς σύ οὔσης κλητικῆς οὐ πάντως εὐθεῖα ἐπιζητηθήσεται. Ὅτι μὲν οὖν κλητικῆς ἐστὶν ἡ σύ, ἀναμφίβολον· ὅτι δὲ καὶ εὐθείας, λεκτέον. Αἱ συνεμπίπτουσαι τῶν λέξεων κατὰ τὰς συντάξεις τοῦ λόγου τὸ ἀμφίβολον τῆς συνεμπτώσεως ἀποβάλλουσι. τὸ γὰρ οὐκερῶ, τρία σημαῖνον, ἐν τῷ οὐκ ἐρῶ σοί ἢ οὐκ ἐρῶ σοῦ ἢ οὐ κερῶ σέ οὐκέτι ἀμφίβολον καθέστηκε. καὶ περισσὸν εἰς τοῦτο παρατίθεσθαι, τοῦ λόγου ἐπὶ πάντων συντεί-

νοντος τῶν παραπλησίων. ὅθεν καὶ τὸ σύ
A κατὰ τὴν σύνταξιν δειχθήσεται, πότε εὐθείας
ἐστὶ καὶ πότε κλητικῆς. ἐν οἷς γάρ φαμεν σὺ
ἦλθες πρὸς ἐμέ, κλητικῆς· ἐγώ εἰμι καὶ
ἐκεῖνός ἐστι καὶ σὺ εἶ, εὐθείας· τὰ γὰρ
τῆς ὑπάρξεως ἢ κλήσεως ῥήματα εὐθεῖα συν-
τάσσονται. οὐ γὰρ πάντως καθολικὸν τὸ τὴν
εὐθεῖαν ἐπὶ τρίτοις νοεῖσθαι πάντοτε· ἰδοὺ
γὰρ ἐπὶ πρώτου καὶ δευτέρου, σεμνός εἰμι,
σεμνὸς εἶ. ἄλλως τε τὰ μὲν ὀνόματα, δίχα
τῆς κλητικῆς, ἐν τρίτοις νοεῖται, ὅτε μή, ὡς
B προείρηται, τὰ τῆς ὑπάρξεως ἢ κλήσεως ῥή-
ματα συντάσσεται, Δίων περιπατεῖ, Δίωνι
λέγε, Δίωνα τύπτε· αἱ δὲ ἀντωνυμίαι ἕνε-
κα τούτου παραλαμβάνονται, τῶν ὀνομάτων
οὐ δυναμένων κατὰ τὸ πρῶτον καὶ δεύτερον
πρόσωπον παραλαμβάνεσθαι ἐπὶ τῆς προκει-
μένης συντάξεως. παρακολουθεῖ οὖν τοῖς κατὰ
τὸ δεύτερον ἀνακρεμάμενον ἔχειν τὸν λόγον τὸν
πρός τινα ὑπὲρ αὐτοῦ τοῦ προσφωνουμένου. ὁ
γοῦν λέγων σὺ τύπτεις πρὸς αὐτὸν λέγει C
ὑπὲρ αὐτοῦ. τὸ αὐτὸ καὶ ἐπὶ τῶν πλαγίων,
σοὶ δίδωμι, σὲ φιλῶ. χωριστέαι οὖν αἱ
ἀντωνυμίαι τῶν ὀνομάτων κατὰ τὰς συντάξεις
ἕνεκα τούτου. Ἔτι αἱ συμπλεκόμεναι πτώσεις
ἢ διεζευγμέναι ἢ συναπτόμεναι τῆς αὐτῆς
ἔχονται κλίσεως· εἰ δέ που κλητικὴ παραλαμ-
βάνοιτο, πάντως ἐκτὸς πεσεῖται τῆς συντά-
ξεως. τοῦ μὲν οὖν προτέρου ἢ Ἀριστοφάνης

A ἢ Ἀρίσταρχος, καὶ Ἀριστοφάνη καὶ
Ἀρίσταρχον, ἤτοι Ἀριστοφάνους ἢ
Ἀριστάρχου, καὶ ἐμοῦ καὶ σοῦ, ἢ ἐγὼ
ἢ ἐκεῖνος· τοῦ δὲ δευτέρου Σώκρατες ἢ
Διογένης παρέσται ἢ Θεόφραστος, Ἀρί-
σταρχε καὶ Διονύσιος ἤκουσε καὶ
Ἀπολλώνιος. ὅθεν εἰ φαμεν καὶ ἐγὼ καὶ
σὺ καὶ ἐκεῖνος, εὐθείας τὸ σύ. Τὰ δυϊκὰ
καὶ τὰ πληθυντικὰ σύλληψιν ἔχει ὁμοιοπτώ-
των προσώπων, τὸ ὑμᾶς ἐκ τοῦ σὲ καὶ σὲ καὶ
B ἐκεῖνον, τὸ ὑμῖν ἐκ τοῦ σοὶ καὶ σοὶ καὶ ἐκείνῳ.
ὅθεν τὸ

σφῶϊ σὺ καὶ κρατερὸς Λυκομήδης

εἰ σύλληψιν ἔχει τοῦ Λυκομήδης κατ' εὐθεῖαν,
δῆλον ὡς καὶ τὸ σὺ εὐθείας καθέστηκεν. Ἔτι
αἱ ἀντωνυμίαι ὁμοιοπτώτοις τοῖς ὀνόμασι
συντάσσονται, ἐμοῦ ὄντος Ἀπολλωνίου,
ἐμοὶ ὄντι Δίωνι, σὲ ὄντα ἀγαθόν· εἰ οὖν
εὐθείας τὸ ἐγώ εἰμι Διονύσιος, εὐθείας
καὶ τὸ σὺ εἶ Δίων. Ἡ κλητικὴ αὐτοτελὴς
C οὖσα στιγμὴν ἀπαιτεῖ· διὸ οὐδέποτε αἱ ἐγκλι-
νόμεναι μετὰ κλητικῆς τίθενται, ὅτι μὴ μόνον ἢ
μοί κατὰ πρῶτον πρόσωπον διὰ φιλοφρόνησιν,

Πάτροκλέ μοι δειλῇ.

ἐν ᾧ οὖν φαμὲν σύ με, σύ μου, εὐθείας ἡ
σύ· αἱ γὰρ εὐθεῖαι τήνδε τὴν σύνταξιν λαμ-
βάνουσι. Πρὸς τὰ πύσματα αἱ εὐθεῖαι ἀνθυ-
πάγονται, τίς ἔγραψεν; Ἀρίσταρχος,
ἐγώ· εὐθείας οὖν καὶ κατὰ τοῦτο τὸ σύ.

Ἔπειτα εἴ τι κλητικὴν ἔχει, πάντως καὶ εὐ- A
θεῖαν· οὐ μὴν εἴ τι εὐθείαν, πάντως καὶ κλη-
τικήν. οὔτε γὰρ τὰ πύσματα, οὔτε τὸ ἄλλος,
ὡς προείρηται, οὔτε τὸ ἐκεῖνος. ὅθεν εἰ τὸ σὺ
κλητικῆς, πάντως καὶ εὐθείας. Τὸ δὲ συνεμ-
πεσεῖν τὴν φωνὴν οὐ ξένον· πλεῖσται γάρ εἰσιν
εὐθεῖαι συνεμπίπτουσαι ταῖς κλητικαῖς.

ΣΥΓΕ Ἀττικοί, καθάπερ καὶ τὸ ἔγωγε.
Τινὲς ἐν δυσὶ μέρεσι λόγου, τοῦ γέ ἐν παρα-
θέσει κειμένου, ἐπεὶ αἱ ἐπεκτεινόμεναι ἐν πρώ-
τοις καὶ ἐν τρίτοις. Ἐν μὲν οὖν τῷ τόνῳ οὐχ B
οἷόν τε διελέγξαι τὴν παραγωγήν, ἐν δὲ τῇ
Δωρικῇ τύγα οὖσῃ συνάγεται καὶ τὸ σύγε. ἡ
γὰρ τύ ὀρθῆς τάσεως οὖσα εὐθεῖαν σημαίνει
παρὰ Δωριεῦσι,

καὶ τυ Διὸς θύγατερ μεγαλόσθενες,

ἐγκλινομένη δὲ αἰτιατικήν,

καὶ τυ φίλιππον ἔθηκε

καὶ τί τυ ἐγὼν ποιέω, Σώφρων. Οὐδεμία
ἀντωνυμία ἐγκλιθεῖσα πτώσεως ἐναλλαγὴν
ποιεῖται· σημειωτέα οὖν ἡ τύ ἐγκλιτική. Αἱ C
κατὰ τὸ δεύτερον πρόσωπον ἐγκλινόμεναι πάν-
τως καὶ ὀρθοτονοῦνται, τῆς αὐτῆς πτώσεως
οὖσαι· ἡ μὲν γὰρ εὐθεῖα οὐδ' ὅλως ἐγκλιθή-
σεται, ἐπεὶ ἀδύνατον. πῶς οὖν ἡ τύ ἐπ' αἰ-
τιατικῆς οὐκ ὀρθοτονεῖται; Μή ποτ' οὖν οὐδ'
ὅλως αἰτιατικῆς ἐστίν, ἀλλ' ἐν σχήματι λαμ-
βάνεται, ᾧ λόγῳ καὶ δοτικὴ ἀντὶ γενικῆς,

Ἀχιλῆϊ δαμασθείς.

καὶ οὐκ ἀνοίκειον τὸ σχῆμα· ἡ μὲν γὰρ γενικὴ A
τῇ δοτικῇ ᾠκείωται, ἡ δὲ αἰτιατικὴ τῇ εὐθείᾳ
οὕτως, ὥστε καὶ ἐν δυϊκοῖς ἅπασι συνεμπίπτειν,
καὶ καθ' ἑνικὰς ἐκφοράς, ὡς ἐπὶ οὐδετέρων,
καὶ κατὰ πληθυντικάς, ὡς ἐπὶ τῶν συνηρη-
μένων πληθυντικῶν, οἱ ταχεῖς-τοὺς τα-
χεῖς. οὐκ ἀλόγως δὲ καὶ διὰ τῆς ἐγκλίσεως
τὸ σχῆμα τῆς αἰτιατικῆς ἐνδείκνυται, εἴγε εὐ-
θεῖα οὖσα ἀδυνατεῖ ἐγκλίνεσθαι. οὐ χρὴ ἄρα
ζητεῖν, διὰ τί οὐκ ὀρθοτονεῖται καὶ ἐπὶ τῆς
αἰτιατικῆς. εἰ γὰρ λέγομεν, ὡς ἀπὸ τῆς σέ B
ἐγένετο, χωρήσαντος τοῦ ε εἰς ῡ, ὡς τῆλε τῆ-
λυ καὶ λάζεται λάζυται, καταλείψομεν ζή-
τησιν, διότι οὐκ ὀρθοτονεῖται.

Τὸ ΤΎΝΗ ὠλιγωρῆσθαί φασι, καθὸ τεί-
νει τὸ ὑ· εἰ γὰρ ἐγώ ἐγώνη, τοῦ αὐτοῦ χρόνου
μένοντος, χρὴ καὶ ἀπὸ τοῦ τύ τύνη. τί δὲ οὐ
μᾶλλον τὸ τύ παραλόγως συνεστάλη ἢπερ τὸ
τύνη ἐξετάθη; ἴσως δὲ καὶ αἱ διὰ τοῦ νη τεί-
νουσι τὴν παραλήγουσαν· ἰδοὺ γὰρ καὶ ἀπὸ
τοῦ ἐμίν ἐμίνη καὶ τίν τίνη. ἴσως δὲ καὶ τῷ C
Βύνη καὶ μύνη συνεξέδραμεν.

Βοιωτοὶ ΤΟΎ καὶ ΤΟΎΝ καὶ ΤΟΎΓΑ.

Ἰ. Ταύτην οἱ μέν φασι παράλογον, ὅτι οὐ
διὰ τοῦ ῡ· ἀποβολῇ γὰρ τοῦ σ τὰς κατὰ τὸ
τρίτον ἀποτελεῖσθαι, σοῦ-οὗ, σός-ός. οἱ δὲ εἰσ-
ηγησάμενοι τὰς κατὰ τὸ τρίτον ὀρθοτονηθεί-
σας ἀνταναπλᾶσθαι οὐδ' ὅλως φασὶ τὸ σχῆ-
μα συστῆναι· εἰ γὰρ μόνως ὀρθοτονεῖται, κα-

θότι εὐθείας, δῆλον ὡς εἰς σύνθετον μεταλη- A
φθήσεται, ὅπερ ἀσύστατον, σύνθετον εὐθεῖαν
γενέσθαι. Ἀλλὰ πρὸς μὲν τοὺς τὴν γραφὴν
μεμφομένους ἐκεῖνο ἂν εἴποιμεν, ὡς ἡ ἀφαίρε-
σις τοῦ σ κατὰ τρίτα ἔστιν, ἐμέθεν - σέθεν -
ἔθεν, ἐμέ - σέ - ἑ· ἡ δὲ σύ τῇ ἐγώ οὐχ ὁμοιο-
καταληκτεῖ· οὐκ ἄρα καὶ κατὰ τὸ τρίτον ὁμοιο-
καταληκτήσει. πιθανὸν γοῦν ἐστὶ φάναι ὅτι,
εἰ τὸ δεύτερον πρὸς τὸ πρὸ αὐτοῦ διήλλαξε,
καὶ τὸ τρίτον πρὸς τὸ πρὸ αὐτοῦ διαλλάξει.
Πρὸς δὲ τοὺς ἀσύστατον ἡγησαμένους λεκτέον, B
ὅτι μάτην ὑπέλαβον τὴν τῶν τρίτων ὀρθοτό-
νησιν ἀνταναπλασμὸν ἀπαιτεῖν, εἴγε ἐντελῶς
ὑπὲρ τούτου προείρηται. ἀξιοπιστότερός τε ὁ
Σοφοκλῆς μάρτυς, χρησάμενος ἐν Οἰνομάῳ·

εἰ μὲν ὠσεὶ θασσονα εἰδως εἰτεκοι παιδα.

καὶ τὸ Ὁμηρικὸν ἔνιοι διὰ τοῦ ι γράφοντες
προσπνέουσιν,

ἐναλίγκιον ὡς ἵ ἅπασα,

ἐκδεχόμενοι τὸ αὐτή, ἡ Ἰλιος. ἀλλ' εἰ καὶ ἐν-
ταυθοῖ τὸν εἰ συναπτικὸν σύνδεσμον ἡ φράσις C
ἐπιζητεῖ, τὸ ἰωροί παρὰ Ἀττικοῖς ὁμολογεῖ
τὴν ἀντωνυμίαν. τὰ γὰρ φυλασσόμενα περιέ-
χει ἡ τοῦ ὠρεῖν σύνθεσις. τὸ πύλην φυλάσσει
πυλωρός, τὸ θύρην θυρωρός. οὕτω καὶ οἱ αὐ-
τῆς τῆς πόλεως φύλακες ἰωροί. καλοῦνται δὲ
καὶ οἱ αὐθιγενεῖς παρὰ δωδιοις ἴγνητες, τῆς
δασείας Ἀττικῶς προσελθούσης. Τρύφων φη-
σὶ τὸν ἴον ἐγκεῖσθαι, ἀφ' οὗ θηλυκὸν τὸ ἴα,

A ἀφ' οὗ τὸ οἷος κατὰ πλεονασμὸν τοῦ ο. καὶ εἰ
τὸ αὐτός εἰς τὸ μόνος μεταλαμβάνεται,

Τυδείδης αὐτός περ ἐὼν προμάχοισιν,

εὔλογον καὶ τὸ μόνος εἰς τὸ αὐτός. καὶ υτο δέ
φησι, καθὸ οὐδεμία ἀντωνυμία συντίθεται
μετ' ἄλλου μέρους λόγου ἢ ἡ αὐτός. ἀλλ' εἰ ἡ
αὐτός συντίθεται, οὐκ ἀπεμφαῖνον καὶ τὴν
ἰσοδυναμοῦσαν τῇ αὐτός συντίθεσθαι. Δῆλον
γὰρ ὡς ἡ μετὰ δασέος βραχεῖα ἐκφορὰ τοῦ ι
ἐλλιπῆ αὐτὴν κατέστησε κατὰ τὴν χρῆσιν.

B Ἡ ὍΣ τὴν ἴσην σημασίαν ἔχει τῇ οὗτος,

ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν

καὶ

ὃς γάρ ῥα μάλιστα

ἤνδανε κηρύκων·

καὶ Πλάτων ἢ δ' ὅς. Καὶ δῆλον ὡς ἀπ' αὐ-
τῆς καὶ ἡ ὭΔΕ παρῆκται καὶ ἡ ΟὗΤΟΣ,

ὅδε προέειπεν

ἀντὶ τοῦ οὗτος·

ὅδ' ἐρεύγετο οἰνοβαρείων·

C ᾧ λόγῳ καὶ ἀπὸ τοῦ τηλίκος τηλικοῦτος τη-
λικόσδε, καὶ ἀπὸ τοῦ τόσος τοσόσδε καὶ το-
σοῦτος, οὐδὲν πλέον σημαίνοντα τῶν πρωτο-
τύπων. Εἴρηται ὡς αἱ πλαγίαι ἀναλογώτεραι
αἱ ἀπὸ τοῦ τ ἀρξάμεναι, τούτου καὶ τούτῳ,
καὶ τοῦδε καὶ τῷδε, ἐπεὶ ἡ τοιαύτη παραγω-
γὴ τοῖς ἀπὸ τοῦ τ ἀρχομένοις παρείπετο.
ἀλλὰ μὴν καὶ τὸ οὐδέτερον, ἀπὸ τοῦ τ ἀρχό-
μενον καὶ κατ' εὐθεῖαν, διήλεγχε τὴν ἔλλειψιν

τοῦ τ̄ κατ᾽ εὐθεῖαν τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ, Α
εἴγε τὰ οὐδέτερα συνάρχεται τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς. καὶ ἡ κατ᾽ ἀρχὴν δασεῖα τὴν διὰ τοῦ τ̄ γραφὴν μαρτυρεῖ· ἡ γὰρ οῡ δίφθογγος κατ᾽ ἀρχὰς τιθεμένη ψιλοῦται, οὐδαμός, οὐρανός, ὥστε καὶ τὸ ὅλον οὖλον ψιλῶς λέγεσθαι καὶ ἔτι τὸν ὅρον οὖρον. καὶ οὐκ ἀντέκειτο τὸ οὕνεκα, ἐπεὶ ὅσα τὸ τ̄ προσλαμβάνει, ταῦτα ἀφαιρέσει τοῦ τ̄ δασύνεται, τόσος-ὅσος, τηλίκος-ἡλίκος· καὶ ἐπεὶ τοὔνεκα, οὕνεκα δασέως. ἐν γὰρ τῷ περὶ δασείας περὶ τοῦ Β
ἧμος καὶ ὄφρα εἴρηται. ὁμόλογος οὖν καὶ κατὰ τοῦτο ἡ ἔλλειψις τοῦ τ̄. Δωριεῖς λέγουσι ΤΟΥΤΟΙ, ὅπερ πάλιν ὁμολογεῖ τὴν ἔλλειψιν τοῦ τ̄.

Διαφέρει ἡ οὗτος καὶ ὅδε τῆς ΕΚΕΙΝΟΣ διαστηματικῆς. ἡ μὲν γὰρ πλησιάζει κατὰ τὴν δεῖξιν, ὥστε καὶ ἐπιλαμβανόμενόν τινα φάναι οὗτός με ἔπαισεν· ἡ δὲ πάντοτε ἐν ἀποστήματι. ἔτι ἡ μὲν καὶ κατὰ τὸ πρῶτον καὶ κατὰ τὸ δεύτερον πρόσωπον συντάσσεται, φυσικῆς οὔσης τῆς συντάξεως· ὁ γὰρ ἑτέρου C
ἐπιψαύων πολὺ μᾶλλον ἑαυτοῦ·

οὗτος ἐγὼ ταχύτατι,

Πίνδαρος ἐν Ὀλυμπιονίκαις· ὁμοίως καὶ ἐπὶ τῆς ὅδε·

ἔνδον μὲν δὴ ὅδ᾽ αὐτὸς ἐγώ,

ὁ ποιητής. ᾧ οὗτος, ἢ οἴῃ στρατείαν ἐσσεῖσθαι; Σωφρων Ἀνδρείοις. ἡ δὲ ἐκεῖνος μόνως ἐπὶ τοῦ τρίτου. πάλιν γὰρ δὴ ἡ

Α κεῖνος μὲν δὴ ὅδ᾽ αὐτὸς ἐγώ

ἀναπολεῖ τὸν ἐκ διαστήματος χρόνου νοούμενον. Τὸ δ᾽ ἀναφορικῶς τίθεσθαι κοινὸν καὶ τῆς ἐκεῖνος καὶ οὗτος καὶ ὅδε,

κεῖνος ἀνήρ, ὅτ᾽ ἐμεῖο κυνώπιδος·

οὗτος ὁ Κροῖσος, Ἡρόδοτος·

τούσδε δ᾽ ἔα φθινύθειν·

ὃς γάρ ῥα μάλιστα

ἤνδανε·

τήνδε δ᾽ ἂν οὐ φθονέοιμι.

Β τοιοῦτο καὶ τὸ

νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος·

μεμπτέοι γὰρ οἱ ψιλῶς ἀναγνόντες, ἵνα ὁ καί νοῆται, ὑπολαμβάνοντες αὐτὴν δεικτικῶς μόνως τίθεσθαι.

Τὴν ἐκείνός φασι τῷ ε̄ πλεονάζειν, καθότι αἱ διάλεκτοι μαρτυροῦσιν, Ἴωνες ΚΕΙΝΟΣ, Αἰολεῖς ΚΗΝΟΣ, Δωριεῖς ΤΗΝΟΣ. τό τε ε̄ πρὸ τοῦ κ̄ κείμενον δασύνεται, ὅτι μὴ ἐν κλίC σει παρακέοιτο ἔξωθεν προσερχόμενον. τοῦ μὲν οὖν προτέρου Ἑκάτη, Ἑκάβη, ἑκάς, ἑκηβόλος, ἑκών, κἂν ἀπὸ τοῦ εἴκω ἐνεστῶτος ἐσχηματισμένον ᾖ· τοῦ δὲ δευτέρου ἑκάλουν, ἕκλων, ἕκλυον. ἐχρῆν οὖν τὸ ἐκεῖνος δασύνεσθαι. τὸ ἐν τρίτοις προσώποις ε̄ δασύνεται, ἕθεν, ἕο, ἑοῖ· πῶς οὖν ψιλῶς τὸ ἐκεῖνος; Ὑπὲρ τοῦ οὖν μὴ πλεονάζειν λεκτέον. αἱ διάλεκτοι καὶ ἀφαιροῦσι καὶ πλεονάζουσιν, ἑορ-

τή-ὁρτή, θέλω-λῶ, τρόμος-τέτρομος, Α
ἐγώ-ἐγώνη. ἀλλὰ καὶ Ἀλκμὰν πρώτῳ

μάκαρς ἐκεῖνος

φησί. ψιλοῦταί τε πρὸ τοῦ κ ἔκτασις καὶ ἐκτός. ἀλλ' ἴσως τὴν πρόθεσιν αἰτιάσαιτο ἄν τις· καὶ τὸ ἀπαλόν δασυνόμενον ἐπιφορᾶς γενομένης τοῦ τ̄ ἐψιλώθη, ἀταλός· ἴσως ἄρα καὶ τὸ κ̄ ἐκ δασέος ἐψίλου τὸ ε̄. Αἱ ἀφαιρέσεις ψιλὴν καταλιμπάνουσι τὴν ἄρχουσαν, λείβειν-εἴβειν, φημί-ἠμί, γαῖα-αἶα· ἀλλ' οὐκέτι τὸ ὗς ἀπὸ τοῦ σῦς ἐψιλώθη, ὅτι Β ἀρκτικὸν ὂν τὸ ῡ̄ δασύνεται. Τὸ ε̄ πλεονάζον ἐν δισυλλάβοις ἀναβιβάζει τὸν τόνον, ἔειπεν, ἔοργεν, ἔεδνα, ἔαδεν, εἰ πλεονασμός· τὸ γὰρ ἐώρων διὰ τὸ χρονικὸν παράγγελμα οὐκ ἀνεβίβασε τὸν τόνον. πῶς οὖν οὐ προπαροξύνεται τὸ ἐκεῖνος; Τὸ ε̄ κατὰ τὸ τρίτον δασύνεται ἀφαιρουμένου τοῦ κατὰ τὸ δεύτερον σ̄, σέο-ἕο, σέθεν-ἕθεν· τὸ δὲ ἐκεῖνος οὐχ οὕτως ἔχει. Τὸ ε̄ πλεονάζει ἐν ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις λέξεσιν, ἐώρων, ἐωνοχόει, C
ἑός, ἕε, ἕοι, ἑῆς· πῶς οὖν ἐν τῷ ἐκεῖνος πλεονάζει; ἐδείχθη γὰρ ὡς τὸ ἐχθές ἐντελέστερον τοῦ χθές καὶ τὸ ἐθέλω τοῦ θέλω. Τὸ ἀφαιρούμενον ε̄ καὶ λεκτὸν καταλιμπάνον ψιλοῦται· καὶ διὰ τοῦτο τὸ μὲν ἕστηκα δασύνεται, τὸ δὲ ἔστησα ψιλοῦται· ἐφ' οὗ μὲν γὰρ ἀφαίρεσις,

στῆσε δ' ἐν Ἀμνισῷ,

καὶ λεκτόν, ἐφ' οὗ δὲ οὐκέτι. ὑγιῶς ἄρα καὶ

Α τὸ ἐκεῖνος ψιλοῦται, εἴγε ἡ ἀφαίρεσις λεκτὸν καταλιμπάνει. Τὸ πλεονάζον καὶ διὰ τοῦ πλεονάσματος καὶ διὰ τοῦ ὁλοκλήρου πολὺ πρότερον σημαίνει, ἀδελφεός-ἀδελφός, ἑός-ὅς· πῶς οὖν, εἴπερ ἐκεῖ, πῶς οὐχὶ καὶ κεῖ;

Αἰολεῖς ΚΗΝΟΣ·

φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν ὤνηρ

Σαπφώ. Δωριεῖς ΤΗΝΟΣ· καθηρημένος τὴν Β καὶ τῆνος ὑπὸ τῶ χρόνω, Σώφρων. σπανίως διὰ τοῦ κ̄·

καὶ κεῖνος ἐν σάλεσιν πολλοῖς ἥμενος,

Ἀλκμάν.

Δεικτικώτεραι γινόμεναι προσλαμβάνουσι τὸ ι, οὑτοσί, ὁδί, ἐκεινοσί. σπανίως γὰρ ἐπ' ἀναφορᾶς· παρὰ Δημοσθένει Σάτυρος οὑτοσί. οἰκεία ἡ κατὰ τὸ τέλος ὀξεῖα ἐπὶ τούτων, εἴγε τὰ δεικτικώτερα μᾶλλον τοῖς τέλεσι τὴν ὀξειᾶν προσνέμει.

C Ἡ ὈΔΕΙΝΑ παρ' Ἀττικοῖς πολλάκις καὶ ἐπὶ τοῦ τυχόντος λαμβανομένη, παρὰ δὲ Συρακουσίοις δίχα τοῦ ᾱ, οὐχ ὁδεῖν τυ επικαζε, Σώφρων Ἀνδρείοις. Οὐ κατὰ πρόθεσιν ἡ ὁδί προσλαβοῦσα τὸ ῑ̄ ἐγίνετο ὁδῖν, καθάπερ καὶ ἡ οὑτοσίν καὶ ἡ ἐκεινοσίν παρ' Ἀττικοῖς. πρῶτον γὰρ ἂν καὶ τὸν τόνον ἐφύλασσεν ὀξύν, καθάπερ καὶ τὸ οὑτοσί· ἔπειτα ταὐτὸν ἂν ἐσήμαινεν, ὥςπερ καὶ αἱ προκείμεναι καὶ κα-

θόλου πᾶσα πλεονάσασα στοιχείῳ λέξις. νῦν Α
δὲ τὸ μὲν ὀδί ὀξύνεται, καὶ δεικτικόν ἐστι· τὸ
δὲ ὀδεῖν καὶ περισπᾶται, καὶ ἐπί τινος τυχόν-
τος παραλαμβάνεται. ἔπειτα τὰ πλεονάσαν-
τα ἔσωθεν κλίνεται, τουτονί καὶ τουτουί·
πῶς οὖν τοῦ δεῖνος ἔξωθεν ἡ κλίσις; ἄμεινον
οὖν ἦν θέμα καταλιπεῖν, ἢ ἀποκοπὴν τοῦ
ὀδεῖνα, ἵνα καὶ τὰ τοῦ τόνου συμφωνῇ καὶ τὰ
τῆς σημασίας. βέλτιον θέμα, ἐπεὶ καὶ αἱ
ἀποκοπαὶ ἄκλιτοι.

Πᾶν πτωτικὸν ἢ κατὰ τὸ τέλος τὴν κλίσιν Β
ποιεῖται, ἢ πρὸ τέλους, ὅτε ἐπεκτέταται, ὡς ἐν
τῷ τοιοῦδε, ταιῷδε· πῶς οὖν τοῦ δεῖνος καὶ ἔτι
τοῦ δείνατος, καὶ τῷ δεῖνι καὶ τῷ δείνα-
τι, δύο κλίσεις ἀνεδέξατο; πῶς δὲ καὶ δύο τό-
νους, πάσης λέξεως μίαν ὀξεῖαν ἐχούσης ἢ πε-
ρισπωμένην; Πολλάκις καὶ ἐπ' ὀνομάτων καθ'
ἑνὸς ὑποκειμένου δύο κλίσεις γίνονται, νέα πόλις-
νέας πόλεως, ἀγαθοδαίμων-ἀγαθοῦ δαίμονος·
οἷς ἐξ ἀνάγκης παρέπεται καὶ τὸ διτονεῖν, ὅτι
καὶ δύο κλίσεις. οὐ πιθανὸν οὖν καὶ τουδεῖνος C
ὡς σωλῆνος προφέρεσθαι, ὡς φησι Τρύφων,
ἵνα μὴ διτονήσῃ ἡ λέξις, δύο κλίσεων γινομένων.

Τὰς κατὰ τὸ τρίτον πρόσωπον, λέγω δὴ
τὴν ἵ καὶ τὰς συζύγους, ἀναφορὰν προσώπων
δηλούσας, συμβέβηκε μεταλαμβάνεσθαι εἰς
τὴν ΑΥΤΟΣ καὶ ΑΥΤΗ καὶ ΑΥΤΟ, εὐλό-
γως, ἐπεὶ καὶ αὐτὴ ἀναφέρεται πάντοτε ἐπί
τι πρόσωπον, ὅτε μὴ ἐπιτέτακται πρώτῳ καὶ

Α δευτέρῳ· ἀλλὰ καὶ ἡ οὗτος καὶ ἡ ἐκεῖνος με-
θίστανται εἰς αὐτήν· κατὰ γὰρ τοῦ αὐτοῦ
προσώπου νοεῖται τὸ ἐκεῖνος ἐνίκησε, τοι-
γαροῦν αὐτὸς τιμῆς μεταλήψεται. οὐ-
κέτι δὲ καὶ ἡ αὐτός εἰς τὸ ἐκεῖνο, οὐδὲ αἱ σύ-
ζυγοι, αὐτὸς ἐνίκησε, τοιγαροῦν οὗτος
χαρήσεται· δύο γὰρ τὰ νοούμενα πρόσωπα.
τοῦτο δὲ συμβέβηκεν, ἐπεὶ ἡ μὲν ἐκεῖνος καὶ ἡ
οὗτος, δεῖξιν σημαίνουσαι, τὴν ὑπόγυιον γνῶ-
σιν τοῦ προσώπου παρίστασιν, ἡ δὲ αὐτός ἐπ'
Β ἀναπολούμενον πρόσωπον φέρεται. ὀρθῶς οὖν
ἐπὶ τὴν διὰ τοῦ ἐκεῖνος δηλουμένην δεῖξιν ἐπα-
ναπολεῖται ἡ αὐτός, οὐκέτι μέντοι ἡ ἐκεῖνος ἢ
οὗτος ἐπὶ τὴν αὐτός δύναται ἀναπέμπεσθαι·
πρώτη γὰρ ἡ διὰ τῶν δεικτικῶν ἀντωνυμιῶν
γνῶσις. Οὐ μόνον δὲ διαφέρει τῶν κατὰ τὸ
τρίτον φωνῇ, ἧ αἱ μὲν ἀπαρέμφατοι γένους
διὰ τῆς φωνῆς, οἵ γὰρ καὶ ἕ, ἡ δὲ καὶ διὰ
τῆς φωνῆς γένους ἐστὶ παραστατική, ἀλλ' ἧ
καὶ πρώτῳ καὶ δευτέρῳ συντάσσεται, αἱ δὲ
C οὔ. καὶ αἱ μὲν ἀκωλύτως ὀρθοτονοῦνται καὶ
ἐγκλίνονται, ἡ δὲ μόνως ὀρθοτονεῖται, ἀναμ-
φιλέκτως μὲν κατὰ πᾶσαν πτῶσιν, κατὰ δὲ
αἰτιατικὴν οὐκ ἀναμφιλέκτως. τινὲς μὲν γὰρ
ἐγκλίνουσιν, ὅτε ἀπόλυτος ἡ σημασία, καθά-
περ ἐκείνη ἡ ἀνάγνωσις

κόψε γάρ αὐτον ἔχοντα·

Τρύφων δὲ παρήνει καὶ ταύτην ὀρθοτονεῖν, κα-
θὸ αἱ τριγενεῖς τῶν ἀντωνυμιῶν μόνως ὀρθο-

τονοῦνται, αἱ δὲ ἐγκλινόμεναι οὔποτε γένους A
ἐμφατικαὶ διὰ τῆς φωνῆς, καὶ καθὸ αἱ κατὰ
γενικὴν καὶ δοτικὴν μὴ ἐγκλιθεῖσαι οὐδὲ κατ'
αἰτιατικήν· οὔτε δὲ ἡ αὐτοῦ οὔτε ἡ αὐτῷ
ἐγκλίνονται, οὐκ ἄρα οὐδὲ ἡ αἰτιατική. ἔτι αἱ
ἐγκλινόμεναι καὶ ὀρθοτονούμεναι κατὰ τὸ τρί-
τον, ἥνίκα ὀρθοτονοῦνται, πάντως καὶ ἀνται-
νακλῶνται, ἡ δὲ αὐτόν οὐκέτι. Ἀλλὰ ἀντίκει-
ται τὸ σημαινόμενον· διαφέρει γὰρ τὸ ἔπαι-
σέν αὐτον ἐγκλινόμενον τοῦ ὀρθοτονουμένου·
ὃ μὲν γὰρ ἔμφασιν ὑπεροχῆς σημαίνει, λέγω B
δὲ τὸ ὀρθοτονούμενον, ὃ δὲ καὶ ἐπ' εὐτελοῦς
τινὸς τάσσεται. αἱ γένους παραστατικαὶ καὶ
δεῖξιν σημαίνουσαι ἀλλότριαί εἰσιν ἐγκλίσεως·
οὐδὲν οὖν τὸ κωλῦον τὴν αὐτόν ἐγκλίνειν, ἀμοι-
ροῦσαν δείξεως. ἔτι δεικτικώτεραι γινόμεναι διὰ
τοῦ ῑ ἐπεκτείνονται, οὑτοσί, ὁδί· ἀλλ' οὐκέ-
τι ἡ αὐτός, οὐδὲ γὰρ δεικτική. Οὐχ ὑγιὲς
λέγειν, ἐπεὶ καὶ τὸ ἕ ἐγκλίνεται, εὐθέως καὶ
τὸ μεταλαμβανόμενον καὶ αὐτόν. ἰδοὺ γὰρ τὸ

ἐπεί ἑο κήδετο λίην C

καὶ τὸ

καί οἱ ἐπευχόμενος·

καὶ τὰ μεταλαμβανόμενα ταύτης τῆς τάσεως
οὐ τυγχάνει. Ἅπερ οὐκ ἠγειρε τὴν ὑπερκει-
μένην συλλαβὴν εἰς ὀξεῖαν, ὁμοίως τῇ αὐτόν
αἰτιατικῇ, ἐπεὶ τοῖς τετραχρόνοις τῶν ἐγκλιτι-
κῶν οὐ παρείπετο· οὐδὲ κατὰ τὴν προτέραν
συλλαβὴν ὠξύνθη, ὅπερ τοῖς τετραχρόνοις

A παρηκολούθει, ὡς ἐπὶ τοῦ ἔδωκεν ἡμιν,
ἥρπασεν ἡμων, ἐπεὶ Αἰολικώτερα τὰ τῆς
προφορᾶς καθίστατο. ὅθεν οὐδὲ ἐπὶ τῆς ἀπο-
λελυμένης σημασίας δεῖ τὸν τόνον τῆς περι-
σπωμένης τρανότερον προφέρεσθαι, ἀλλὰ νοεῖν
ὅπως τὸ τῆς ἐγκλίσεως σχῆμα φυλάσσηται.

Προείρηται ὡς παντὶ προσώπῳ ὀρθοτονου-
μένῳ σύνεστι, διὸ καὶ ἐπιταγματικὴ ἐκαλεῖτο
ὑπὸ Ἀριστάρχου. Ἀλλὰ μὴν καὶ κτητικαῖς
συντάσσεται, γενικῆς πτώσεως οὖσα. καὶ σα-
B φές ἐστιν ὡς πάλιν σύνταξιν ἔχει τῆς πρωτο-
τύπου, ἥτις ἐν τῷ κτήτορι νοεῖται κατὰ γε-
νικήν,

αὐτῶν γὰρ σφετέρῃσιν,
ἢ ἑὸν αὐτοῦ χρεῖος·

τὰ γὰρ ἐντὸς πρόσωπα τούτων ἐν γενικῇ πτώ-
σει νοεῖται.

Μόνη διπλασιάζεται παρὰ Δωριεῦσιν ἡ
αὐτός ἐν τῷ αὐταυτος, αἱ δὴ μὴ ἐγὼν
ἔμαπτον ταῖς αὐταύταις χερσίν, Σώ-
C φρων. Μόνη συντίθεται μετὰ ἀντωνυμιῶν κα-
τὰ τέλος καὶ μετὰ ἄλλων μερῶν λόγου ἐν ἀρ-
χῇ, αὐτάρετος, αὐτοδίδακτος. καὶ διὰ
τοῦτο ἐσημειοῦτο τὸ φίλαυτος· εἴρηται ἡ αἰτία
ἐν τῷ περὶ σχημάτων.

Ἐπεὶ πρώτῳ καὶ δευτέρῳ συντάσσεται
προσώπῳ καὶ τρίτῳ, ὑπέλαβον αὐτήν τινες
κοινὴν τῶν τριῶν προσώπων καθεστάναι. Πρὸς
τοῦτο φαίημεν ἄν, ὅτι πρώτου καὶ δευτέρου

νοεῖται διὰ τὰς συντάξεις τῶν ἀντωνυμιῶν ἢ Α
ῥημάτων, αὐτὸς ἔδωκα, αὐτὸς ἰδέ· αὐτὴ
μέντοι κατ' ἰδίαν τρίτου ἐστί· καὶ δῆλον ἐκ
τῶν ἀπαρεμφάτων, ἅπερ ἀντωνυμίαις συνταξ-
όμενα παρεμφατικὰ γίνεται προσώπων· τὸ
γὰρ ἐμὲ γράφειν πρώτου καὶ τὸ σὲ γρά-
φειν δευτέρου. ἐν ᾧ οὖν αὐτόν φαμεν γρά-
φειν καὶ τρίτου νοεῖται, ὁμόλογον ὅτι τὸ αὐ-
τός τρίτου προσώπου. τὸ δὲ μεῖζον· αἱ κατὰ
τὸ τρίτον εἰς αὐτὴν μεταλαμβάνονται, ὅπερ
οὐκ ἐνδεχόμενον, εἰ μὴ καὶ αὐτὴ τρίτου προς- Β
ώπου καθειστήκει.

Τινὲς ἐπεχείρησαν εἰς τὰ ὀνόματα μετα-
λαμβάνειν τὴν αὐτός, καθὸ ἰσοδυναμεῖ τῷ
μόνος,

Τυδείδης αὐτὸς περ ἐών,

καὶ καθὸ ἄρθρου ἐπιδεκτική, τῶν εἰς ος πρω-
τοτύπων μὴ ἐπιδεχομένων τὰ ἄρθρα. σύγκρι-
σίν τε καὶ παραγωγὴν ἀνεδέξατο, ὡς ἐν Ἀλ-
κυόνι Ἐπίχαρμος, αὐτότερος αὐτῶν. ὀξύ-
νεταί τε ὁμοίως τὸ καὶ αὐτός, τῶν ἄλλων βα- C
ρυτονουμένων. Πάνυ δ' εὐήθη τὰ προκείμενα.
οὐ γὰρ τὰ ἀντί τινων μερῶν λόγου παραλαμ-
βανόμενα ταὐτά ἐστιν ἐκείνοις. τὸ Ἴλιον εἴ-
σω ἀντὶ τοῦ εἰς Ἴλιον, καὶ τὰ ἐπιῤῥήματα
οὐ ταὐτὰ ταῖς προθέσεσι. τὸ βριθομένη
μετοχικὸν ἀντὶ τοῦ βρίθεται, καὶ οὐ πάντως
ῥῆμα καὶ μετοχὴ ταὐτόν. ἄλλα μυρία. διὰ τί
ἄρθρου ἐστὶ δεκτική, εἴρηται. ἄλλως τε τοῖς
μὲν

Α μὲν ὀνόμασι τὸ ἄρθρον προσελθὸν μιᾶς ἀνα-
πολήσεώς ἐστι παραστατικόν, ὁ ἄνθρωπος
ἦλθεν ὁ καὶ πάλαι γινωσκόμενος· ἐν δὲ τῷ
ὁ αὐτὸς πλείονες αἱ ἀναφοραί. ἕνεκα γελοίου ἡ
κωμῳδία σχήματά τινα ἔπλασεν, ὥστε οὐ
κριτήριον τῆς λέξεως τὸ αὐτότερος, ἐπεὶ καὶ
Δαναώτατος ὑπερτίθεται παρὰ Ἀριστοφάνει,
τῶν κυρίων οὐ συγκρινομένων. εἰ δὲ καθὸ ὀξύ-
νεται, ὄνομα, καὶ τὸ ἐκεῖνος ὅμοιον τῷ Φιλῖνος
καὶ τὸ οὗτος τῷ κοῦφος, καὶ οὐ πάντως ὀνό-
Β ματα. ἀντ' ὀνομάτων παραλαμβάνεται, ὅπερ
ἴδιον ἀντωνυμιῶν. ἐδείχθη τε ὡς αἱ κατὰ τὸ
τρίτον εἰς αὐτὴν μεθίστανται, καθὸ δυνάμει
αἱ αὐταί εἰσιν ἀντωνυμίαι. τὰ τοῦ πρώτου
καὶ δευτέρου προσώπου ῥήματα ἀντωνυμίαις
παρατιθέμενα αὐτοτέλειαν ποιεῖ, ἐγὼ ἔγρα-
ψα, σὺ ἐλάλησας· ὀνόμασι δὲ οὔ, εἰ μὴ
τὸ λέγεσθαι ἢ ὑπάρχειν ἢ τι τούτοις ἰσοδυ-
ναμοῦν, Δίων λέγομαι, Θέων ὑπάρχω.
ἡ δὲ αὐτὸς ἅπασι ῥήμασιν, αὐτὸς λέγω,
C αὐτὸς ἔδωκας. εἰ τὰ τέλη τῶν συνθέτων
ἐπικρατεῖ, καὶ τὸ εὐτακτος ὄνομα καὶ τὸ χει-
ρογραφῶ ῥῆμα, πῶς οὐχὶ γέλοιον τὸ μὲν σαυ-
τοῦ καὶ ἐμαυτοῦ ἀντωνυμίας φάναι, τῆς αὐ-
τός ἐγκειμένης κατὰ τὸ τέλος, τὸ δὲ τέλος
ὄνομα;

ΕΜΟΥ. Ὁμοφωνοῦσα αὕτη κτητικῇ τῇ
ἀπὸ τῆς ἐμός, κατὰ τὰ λοιπὰ σχήματα δια-
στέλλεται· ἐμοῖο γὰρ ἡ παρὰ τὴν κτητικήν,

ἡ δ' ἐμέο καὶ ἐμεῦ καὶ ἐμέθεν καὶ ἐμεῖο
παρὰ τὴν πρωτότυπον. καὶ ἔτι ᾗ μὲν ἐγκλισις παρακολουθεῖ, ᾗ δ' οὔ. Ἀλλὰ καὶ ἡ μοῦ μονοσύλλαβος τῆς ἐμοῦ δισυλλάβου προείρηται τίσι διαφέρει. Λείπεται διαλαβεῖν, δι' ἣν αἰτίαν ἡ ἐμαυτοῦ σύνθετος μεταλαμβάνεται εἰς τὴν ἐγκεκλιμένην, οὐκέτι δὲ εἰς τὴν ὀρθοτονουμένην. τὸ γὰρ

πρὸς ταῖς ἐμαυτοῦ νῦν θύραις

ἴσον ἐστὶ τῷ πρὸς ταῖς θύραις μου, αὐτὸ μόνον τῆς ἀντιδιαστολῆς ἀφῃρημένον. εἰ δὲ ἐντελῶς ἐδείχθη, ὡς αἱ ὀρθοτονούμεναι τῶν ἀντωνυμιῶν, ὅτε τὴν τοῦ ῥήματος διάθεσιν ἐφ' ἕτερον οὐκ ἔχουσι πρόσωπον συντείνουσαν, πάντως εἰς σύνθετον μεταλαμβάνονται, ὁμόλογον ὡς ταῖς ἐπὶ τοῦ πρώτου καὶ δευτέρου ταὐτὸν παρακολουθήσει. περισσὸν ἄρα ζητεῖν, διὰ τί αἱ σύνθετοι μεταλαμβάνονται εἰς ἁπλᾶς ὀρθοτονουμένας· αὐταὶ γὰρ εἰς σύνθετον μετατιθέμεναί εἰσιν ὑπὲρ τοῦ τὸ μεταβατικὸν διαστεῖλαι τοῦ ἀνταναπλωμένου.

ἘΜΕΥ. κοινὴ Ἰώνων καὶ Δωριέων,

ἐμεῦ δ' ἔλετο μέγαν ὅρκον

ἄκουε νῦν καὶ ἐμεῦ, Ῥώγκα, Σώφρων. καὶ Φερεκύδης ἐν τῇ θεολογίᾳ, καὶ ἔτι Δημόκριτος ἐν τοῖς περὶ ἀστρονομίας καὶ ἐν τοῖς ὑπολειπομένοις συντάγμασι συνεχέστερον χρῶνται τῇ ἐμεῦ καὶ ἔτι τῇ ἐμέο. διὸ καὶ ὁλοκληροτέραν ἂν τις αὐτὴν ὑπολάβοι τῆς ἐμείο καὶ

σείο, καθὸ οἱ πεζολόγοι τῇ μὲν διὰ τοῦ ῑ οὐκ ἐχρήσαντο, τῇ δὲ διὰ τοῦ ε· καίτοι τῶν περὶ Τρύφωνα οὐκ ἀπιθάνοις λόγοις προσκεχρημένων ὑπὲρ τοῦ τὴν ἐμείο ἐντελεστέραν εἶναι· εἰ γὰρ ἀπὸ τῶν εἰς φωνῆεν ληγουσῶν γενικῶν μείζονες γινόμεναι ἢ κατὰ τὸ τέλος μεγεθύνονται ἢ κατὰ τὴν παραλήγουσαν, οὐδέποτε δὲ ἐν ἀμφοτέροις βραχύνονται, Ἀτρείδαο-Ἀτρείδεω, Πριάμοιο, καὶ ἔτι ἐπ' ἀντωνυμιῶν, ἐμοῖο, σοῖο, πῶς οὐχὶ κατὰ τόνδε τὸν λόγον ἡ ἐμέο καὶ σέο ἐλλείπουσι τῷ ῑ, ἀπὸ τῆς ἐμοῦ καὶ σοῦ αὐξηθεῖσαι; Ἀλλ' εἴρηται ὅτι ἰσχυρότερα τὰ τῶν πεζολόγων μαρτύρια. ἄλλως τε εἰ ἐδείκνυντο αἱ ἀντωνυμίαι πρωτοτυποῦσαι ἀνακόλουθοι καὶ κατὰ ἀριθμὸν καὶ κατὰ πτῶσιν, οὐκ ἀπεμφαῖνον εἰ καὶ κατὰ αὐξήσεις τῶν πτώσεων.

ἘΜΕΘΕΝ. Πυκνῶς αἱ χρήσεις παρ' Αἰολεῦσιν,

. . ἐμέθεν δ' ἔχεις θα λάθαν·

. . . . . ἤ τι-

νʼ ἄλλον ἀνθρώπων ἐμέθεν φιλῇς θα.

ἀλλὰ καὶ παρὰ Συρακουσίοις· ἔτι μεθὲν ἀ καρδία παθῇ, Σώφρων Γυναικείοις. παράτε τῷ ποιητῇ ἡ χρῆσις καὶ σχεδὸν συνεχής. διὸ οὐδὲ Αἰολικώτερον χρὴ ἀναγινώσκειν, δικούσης καὶ ἐπὶ πολλὰς διαλέκτους τῆς χρήσεως. Ἐπεὶ δέ φασιν ἀπὸ τῆς Λέσβου γενικῆς ἐπίῤῥημά τι ἀποτελεῖσθαι Λεσβόθεν, οἴκου-οἶ-

κοθεν, οὐρανοῦ - οὐρανόθεν, τοῦ ὗ παραιρου- A
μένου, οὕτω καὶ ἀπὸ τῆς ἐμεῦ τὸ ἐμέθεν
ἀποτελούμενον ἐπίῤῥημα ἂν γένοιτο. Πάνυ δὲ
ληρώδης ἡ τοιαύτη παράδοσις. οὔτε γὰρ τὰ
παραγόμενα, μετατιθέντα τὰ τέλη, οὐχὶ τὸ
αὐτὸ μέρος λόγου συστήσεται, οὔτε φυλάξαν-
τα τὸ αὐτὸ μέρος λόγου. τὸ οἰκόνδε καὶ τὰ
παραπλήσια τὸ αὐτὸ τέλος ἐφύλαξε τῆς αἰ-
τιατικῆς, ἀλλ᾽ οὐ τὸ αὐτὸ μέρος λόγου· τὸ

ἀπὸ χαλκόφι χαλκός

οὐκ ἐφύλαξε, καὶ ἴσον τῷ ἀπὸ χαλκοῦ. αὐτή B
τε ἡ διὰ τοῦ θεν παραγωγὴ ὁτὲ μὲν ἐπιῤῥη-
ματικῶς τὸ ἐκ τόπου σημαίνει, Λεσβόθεν,
πάντοθεν, Ἰλιόθεν, ὁτὲ δὲ ταὐτὸ σημαί-
νει τῷ πρωτοτύπῳ. τί γὰρ ἂν εἴη τὸ

σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη;

ἢ οὐ δῆλον ὡς σχεδόν; οὐ γὰρ σύνεγγυς οὐ-
ρανὸς τῆς γῆς, ἵν᾽ οὕτως ἀκούηται, ἐκ τοῦ σύν-
εγγυς τόπου.

Ἰδηθεν μεθέων

ἀντὶ τοῦ Ἴδης· εὐηθες γὰρ τὸν ἐξ Ἴδης τῆς C
κατὰ Κρήτην παραδέχεσθαι, τὸν ἐπιχώριον
Ἰδαῖον Διὰ παραπεμψάμενον.

Αἴας δ᾽ ἐγγύθεν ἦλθεν·

ἄλλα μυρία. διὸ καὶ ἐπὶ τῆς προκειμένης λέ-
ξεως ἡ ἐξέτασις προαγέσθω. Εἰ μὲν οὖν ἐν
τῷ ἐμέθεν καὶ σέθεν ἔγκειται τὸ ἐξ, καθάπερ
ἐπὶ τοῦ οὐρανόθεν, Διόθεν, ὁμόλογον ὅτι
ὁμοίως τούτοις παραχθέντα ἐπιῤῥήματά ἐστιν·

εἰ δὲ τὴν αὐτὴν σύνταξιν ἔχει τῇ γενικῇ, σα- A
φὲς ὅτι καὶ ταὐτὸ μέρος λόγου· οὐ γὰρ φω-
ναῖς μεμέρισται τὰ τοῦ λόγου μέρη, σημαινομέ-
νοις δέ. τῶν γενικῶν μετὰ καὶ ἄλλων προθέ-
σεων ἡ πρό ἠγεῖται, τῶν δὲ ἐκ τόπου ἐπιῤῥη-
μάτων οὐδέποτε· οὐ γὰρ πρὸ οἰκόθεν φησί
τις, πρὸ οἴκου δέ, οὐδὲ πρὸ Λεσβόθεν, πρὸ
Λέσβου δέ. ὅθεν εἰ τὸ

πρὸ ἔθεν

τὴν αὐτὴν σύνταξιν ἔχει τῷ πρὸ αὐτοῦ, ἀν-
τωνυμία γεννήσεται ἡ ἔθεν. ταὐτὸ καὶ ἐπὶ τοῦ B

ἐξ ἐμέθεν·

ἴσον γὰρ τῷ ἐξ ἐμοῦ. παρὸν δὲ καὶ τὰς γενι-
κὰς μεταλαμβάνοντας εἰς τὰς προκειμένας ἀνε-
πίληπτον τὴν φράσιν καθιστάνειν. τὸ δὲ

ἐξ οὐρανόθεν

πλεονάζει τῷ ἐξ, ἐντελὲς μέντοι τὸ

οὐρανόθεν προΐαλλεν.

Οὐχ ὑγιὲς λέγειν ὅτι τὰ ἐπιῤῥήματα πρόςωπα
οὐκ ἔχει· πῶς οὖν ἐμέθεν, σέθεν, ἔθεν; πρὸς
γὰρ τοῦτο φήσει τις, ὅτι κατὰ πρόςωπα τὰ C
ἐπιῤῥήματα παρῆκται.

Τὰς μὲν οὖν ἄλλας τῶν πλαγίων συμβέ-
βηκεν ἐν μεταβάσει ἑτέραυ προςώπου νοεῖσθαι,
ἐμὲ ἐπαίδευσας, Διονυσίῳ ἐλάλησας· διὰ γὰρ τῶν ῥημάτων αἱ εὐθεῖαι· ΤΑΣ δὲ ΣΥΝΘΕΤΟΥΣ τῶν ἀντωνυμιῶν τὴν μετάβασιν ποιεῖσθαι ἀπὸ τοῦ αὐτοῦ προςώπου εἰς τὸ αὐτὸ πρόςωπον, ἐμαυτὸν ἔπαισα, ἐμαυ-

τῷ ἐλάλησα· — διὸ καὶ ἀνταναπλώμεναι κα- Α
λοῦνται, ἀπὸ μεταφορᾶς τῶν εἰς αὐτὰ ἀντα-
ναπλωμένων σωμάτων — τὴν μέντοι γενικὴν καὶ
ἐπὶ ἕτερον πρόσωπον συντείνειν, ἐν οἷς καὶ ἄρ-
θρον τότε ἐπιδέχεται, τῶν ἄλλων ἀντωνυμιῶν
ἄρθρον οὐ προσλαμβανουσῶν, τῷ ἐμαυτοῦ
φίλῳ διελεξάμην, τοῦ ἐμαυτοῦ δούλου
δεσπόζω. καὶ σαφὲς τὸ αἴτιον. ἐπεὶ γὰρ
ἅπαξ πᾶσα γενικὴ ἐπὶ πρᾶγμά τι φέρεται,
Πλάτωνος ἤκουσα, ἢ ἐπί τι κτῆμα, Πλά-
τωνος δοῦλος, ἐμοῦ δοῦλος, τοῦτο καὶ τῇ Β
προκειμένῃ παρακολουθεῖ. ἰδοὺ μὲν γὰρ κατὰ
πράγματος ἐμαυτοῦ ἤκουσα, κατὰ δὲ κτή-
ματος ἐμαυτοῦ δούλῳ διελεξάμην, ἐμαυ-
τοῦ ἀγρὸν ἔσκαψα. ἐν οἷς καὶ τὸ ἄρθρον
προστίθεται, οὐκ αὐτῆς ὄν· ἀδύνατον γάρ,
ὡς προαπέδειξα· τοῦ δὲ κτήματος, ὁμόλογον
ἐκ τοῦ μετασχηματίζεσθαι πρὸς τὸ σχῆμα
τοῦ κτήματος, τῷ ἐμαυτοῦ δούλῳ, τοὺς
ἐμαυτοῦ δούλους, καὶ ἔτι ἐκ τοῦ μὴ προς-
λαμβάνειν ἄρθρον, ἐν οἷς οὐδὲ ἐπὶ κτῆμα φέ- C
ρεται, σαυτοῦ ἀκούεις. διὸ καὶ αἱ ἑξῆς
πτώσεις, οὐδέποτε ἐπὶ κτῆμα φερόμεναι, ἄπρος-
δεεῖς εἰσὶν ἄρθρου. Διὸ οὐδὲ συγκαταθετέον
Τρύφωνι φάσκοντι, ἐν οἷς ἄρθρον προσλαμβά-
νει ἡ γενική, καὶ ἐν οἷς κτῆμα σημαίνει, ἐν
τούτοις ὁμόλογος ἡ σύνθεσίς ἐστιν ὡς ἐκ τῆς
ἐμοῦ κτητικῆς τῆς σύνθεσιν ἐποιήσατο· ἐν οἷς
δ' οὐκέτι, ἀπὸ τῆς ἐμοῦ, ἢ τις πρωτότυπός

Α ἐστιν. Εἰσὶ δὲ καὶ ἄλλαι ἀποδείξεις τοῦ μὴ
ἐγκεῖσθαι τὴν ἀπὸ τοῦ ἐμός γενικήν. ταῖς κτη-
τικαῖς τὰ ὑπακουόμενα ὁμοιόσχημα, ταῖς δὲ
γενικαῖς ἀδιαφορεῖ τὸ ὑπακουόμενον. τοῦ μὲν
οὖν προτέρου ἐμὸς οἶκος, Ἀριστάρχειος
δοῦλος, ἐμοὶ δοῦλοι, ἐμοὺς δούλους·
τοῦ δὲ δευτέρου Ἀριστάρχου δοῦλοι ἢ
δοῦλαι ἢ οἱαιδήποτε πτώσεις μεθ' οἱουδήπο-
τε γένους, μετ' ἀριθμοῦ ἀδιαφόρου. εἰ τοῦ-
θ' ὑγιές, ἐν οἷς τῷ ἐμαυτοῦ ἀδιάφορα τὰ ἐπι-
Β φερόμενα, ἐν τούτοις τῆς γενικῆς ἡ κτῆσις μη-
νύεται καὶ οὐ τῆς κτητικῆς ἀντωνυμίας. ἔτι γε
μὴν καὶ ἐκ τῶν παρατιθεμένων ἄρθρων ἐνὸν
πιστώσασθαι, ἐν οἷς πάλιν γενικὴν μὲν κτῆσιν
σημαίνουσιν ἀδιάφορα τὰ ἄρθρα, κτητικῇ δὲ
ἀντωνυμίᾳ ἢ ὀνόματι ὁμοιόσχημα παρατίθε-
ται, ὁ ἡμέτερος, ὁ ἐμός, ὁ Ἀριστάρχει-
ος, τοῦ Ἀριστάρχειου, τοῦ ἡμετέρου·
γενικῇ δὲ τοὺς Ἀριστάρχου, τοῖς Ἀρι-
στάρχου, τοῖς ἐκείνου. ἐν οἷς οὖν πάλιν
C ἀδιάφορα τὰ ἄρθρα, τοὺς ἐμαυτοῦ καὶ
τὰς ἐμαυτοῦ, ἐν τούτοις τῆς γενικῆς ἡ κτῆ-
σις. πρὸς τούτοις, ὅτε μὲν γενικὴ κτητική τινος
κτῆσιν δηλοῖ, δύο κτήματα νοεῖται, καὶ φαί-
νεται ὅτι τὸ μὲν τῆς κτητικῆς ἐστὶ λέξεως, τὸ
δὲ ἕτερον τῆς γενικῆς, ὡς εἰ ἔλεγε τοῦ ἐμοῦ
ἀγροῦ καρπός, τοῦ ἐμοῦ δούλου παῖδα
ἔτυψα. εἴπερ οὖν ἡ σύνθεσις ἐν κτητικῇ, κἂν
δύο κτήσεις ἐνοοῦντο ἐν τῷ ἐμαυτοῦ δοῦ-

λον ἔπαισα. μία δέ ἐστι· μετάξαντες γοῦν
A εἰς τὴν ἐγκεκλιμένην φαμὲν δοῦλόν μου
ἔπεισα. εἰ δὲ οὕτως ἐνοοῦμεν δοῦλον τοῦ
ἐμοῦ φίλου ἔπαισα, κἂν ὅλως ὁμόλογον
ἦν τὸ σχῆμα ἐκ τῆς ἐμοῦ κτητικῆς συγκείμε-
νον. Πάσῃ γενικῇ κτῆσιν σημαινούσῃ πᾶσα
πτῶσις μετὰ παντὸς γένους καὶ ἀριθμοῦ ἐπι-
φέρεται, τῇ δὲ ἐμαυτοῦ οὔποτε εὐθεῖα συντάσ-
σεται. τὸ δ' αἴτιον προύπτον. αἱ γὰρ σύνθε-
τοι τῶν ἀντωνυμιῶν ἰσόζυγον ἀπαιτοῦσι ῥῆ-
μα, αἵ τε εὐθεῖαι ἐν τρίτῳ προσώπῳ νοούμε-
B ναι τὰ ῥήματα εἰς αὑτὰς ἐπάγονται, Δίων
περιπατεῖ, Σωκράτης διαλέγεται. σα-
φὲς ὅτι οὐ συστήσεται ἡ τοιαύτη σύνταξις τῶν
ῥημάτων οὐ δυναμένων προσχωρεῖν οὔτε τῇ εὐ-
θείᾳ διὰ τὴν ἀνταναπλωμένην, οὔτε τῇ ἀντα-
ναπλωμένῃ διὰ τὴν εὐθεῖαν. Ἔστι μέντοι εὑ-
ρεῖν φράσιν μετὰ γενικῆς καὶ εὐθείας, ὅταν τὸ
ῥῆμα μηκέτι μάχηται. πρώτου γὰρ καθεστὸς
μετ' εὐθείας συνταγήσεται, ὅταν ὑπάρξιν ση-
μαίνῃ τὸ ῥῆμα, τῆς ἐμαυτοῦ ἀκωλύτως καὶ
C αὐτῆς ἐπιζητούσης ῥῆμα πρώτου προσώπου
ἐν τῷ ἐμαυτοῦ εἰμὶ σύμβουλος, ἐμαυ-
τοῦ εἰμὶ κατήγορος.

Εὐθείας ἀμοιρεῖ ἡ προκειμένη γενική· οὐ
γὰρ εἰ ἅπαξ εἴρηται, καὶ ταῦτα ὑπὸ κωμι-
κῆς ἀδείας, ὡς ἐν Μετοίκοις Πλάτωνος, τοῦτο
κανών ἐστι τῆς κατὰ φύσιν εὐθείας σιγηθεί-
σης. Πᾶσα πλάγιος εὐθείᾳ συντάσσεται με-

A τάβασίν τινα προσώπου ἐπὶ πρόσωπον δηλοῦ-
σα, ἐμὲ Διονύσιος ἔπαισεν, ἐγώ σε ἐδί-
δαξα· ἀλλὰ μὴν καὶ αἱ διαθέσεις οὐ μόνον
ἔκ τινων ἐπί τινας ἐγίνοντο, ἀλλὰ καὶ αὐτο-
χειρία δρᾶσις, καὶ ὅσα καὶ ἐν ἄλλοις προς-
ώποις ἐνοεῖτο, ταῦτα καὶ ἐπὶ ταὐτὰ πρόσωπα
μετῄει. ἐμερίζοντο γοῦν αἱ μὲν σύνθετοι τῶν
πλαγίων εἰς τὰ αὐτοπαθῆ τῶν προσώπων,
αἱ δ' ἁπλαῖ εἰς τὰ ἀλλοπαθῆ, ἐμαυτὸν
ἔπαισα, ἐμὲ σὺ ἔπαισας, τῶν ῥημάτων
B τὰς εὐθείας ἐν αὑτοῖς δηλούντων, εἴγε πᾶν
ῥῆμα εὐθεῖαν ἔχει ἐγκειμένην. φανερὸν οὖν ὡς
ταῖς συνθέτοις ἐξ ἀνάγκης ἐπιφερόμενα τὰ ῥή-
ματα τῆς εὐθείας ἐγίνετο παραστατικά, ἧς
καὶ χρείαν εἶχεν ἡ σύνταξις· περισσὸν οὖν ἐστὶ
ζητεῖν εὐθεῖαν τῶν προκειμένων πτώσεων. Ἀλ-
λά φασιν οὐδὲν κωλύει ἐν τῷ πρώτῳ προς-
ώπῳ ἐν τῷ ἐμαυτός καὶ τὴν αὐτός εὐθεῖαν
ἐγκεῖσθαι, ὅθεν καὶ τὸ ἐμαυτὸς ἔπαισα
πλάγιον μὲν νοεῖσθαι ἐν τῇ ἀρχούσῃ κατὰ
C σύνθεσιν, εὐθεῖαν δέ, ᾗ καὶ συντάσσεται τὸ
ῥῆμα, ἐν τῇ κατὰ τέλος. Ἀλλά γε πρὸς τοῦ-
το ῥητέον. τὸ μὲν πρῶτον· ἄκλιτον μένει τὸ
σχῆμα καὶ κατὰ τὸ τέλος καὶ κατὰ μέσην
λέξιν, κατὰ μὲν τὸ τέλος, καθότι πάντοτε ἡ
εὐθεῖα σύνεστι πάσῃ πλαγίῳ, κατὰ δὲ μέσην
λέξιν, ᾗ τὰ συντεθέντα ἀκίνητα. τὸ δὲ δεύ-
τερον, ὡς καὶ ἄδηλος ἡ φράσις γίνεται· πότε-
ρον γὰρ ἡ συγκειμένη γενικὴ ἐστιν ἢ δοτικὴ ἢ

αἰτιατική, οὐ γνωστόν, τοῦ τέλους ἐκθλιβέν- A
τος. ἔπειτα, εἰ ὑπὲρ διαστολῆς τῶν μεταβα-
τικῶν πλαγίων αἱ σύνθετοι γεγόνασι, περισ-
σὸν ζητεῖν τὴν εὐθεῖαν· οὐδὲ γὰρ ἔστιν εὐθεῖα
ἐν μεταβάσει προσώπου λαμβανομένη, ἓν δὲ
καὶ τὸ αὐτὸ πρόσωπον δηλοῦσα, αὐτὸς ἔγρα-
ψε καὶ αὐτὸς ἐκλήθη. ἔνθεν γάρ μοι δοκεῖ,
ὡς καὶ προείρηται, τὴν ἐγὼ ἀσύνθετον καθε-
στάναι, ἐπεὶ μὴ αὐτοπαθὴς ἐγίνετο ἐν συνθέ-
σει, ἀλλοπαθὴς δὲ ἐν ἁπλότητι, ὅπερ καὶ ἐπὶ
τῶν πλαγίων συνέβαινεν. Οὐχὶ οὖν καὶ τὰ B

ἀλλήλους τρώσητε

διὰ μιᾶς συνθέσεως φωνῆς εὐθεῖαν καὶ πλά-
γιον ἐν μεταβάσει προσώπων δηλοῖ; Ἀλλὰ
μὴν ἡ λέξις οὔτε ἀμφίβολος οὔτε ἄκλιτος, οὐκ
ἀμφίβολος μέν, καθὸ ἐπὶ τέλει συντεθεῖσα ἡ
πλάγιος δεόντως πρὸς τὸ σημαινόμενον ἐκλίνε-
το, ἀλλήλοις ἔδωκαν, ἀλλήλους ἔπαι-
σαν· κλιτικὴ δέ, καθὸ οὐδὲν ἦν τὸ κωλῦσαν
τὸ τέλος κλίνειν, τῆς εὐθείας κατὰ τὸ ἄρχον
μέρος τῆς συνθέσεως νοουμένης, ἥτις καὶ ἔνε- C
κα τοῦ συντεθεῖσθαι ἀκίνητος ἐφυλάσσετο,
καὶ ἕνεκα τοῦ τὴν εὐθεῖαν ἐν τοῖς μεταβατι-
κοῖς προσώποις πάντοτε συνυπάρχειν.

Ἑξῆς ῥητέον περὶ τοῦ ἀριθμοῦ τῶν συν-
θέτων, εἰ δεόντως τὰ μὲν τρίτα ἀφ' ἑνικῆς
συντάξεως εἰς πληθυντικὰ προάγεται· ΕΑΥ-
ΤΟΥΣ γὰρ καὶ ΕΑΥΤΩΝ· τὰ δὲ πρῶτα καὶ
δεύτερα οὐκέτι. Τὸν μὲν οὖν Ἀρίσταρχον ἐπι-

μέμφεσθαί φασι τὰ σχήματα, καθὸ ἀφ' ἑνι- A
κῆς συντάξεως τῆς ἑαυτὸν πληθυντικὴ ἐγένετο
ἡ ἑαυτούς, μάρτυρά τε ἐπάγεσθαι τὸν ποιη-
τήν, παρ' ᾧ τὰ τοῦ Ἑλληνισμοῦ ἠκρίβωται,
ἐν οἷς πάντοτε ἐν διαλύσει ἐστὶ τὰ τρίτα,
ὁμοίως τοῖς πρώτοις καὶ δευτέροις, σφᾶς αὐ-
τούς καὶ σφῶν αὐτῶν. πρὸς οἷς καὶ τῶν
πρώτων καὶ δευτέρων οὐκ ὄντων ἐν συνθέσει
πληθυντικῇ, ἐξ ἀνάγκης καὶ τοῖς τρίτοις πα-
ρηκολούθει ταὐτόν. Πρὸς ὃν οἱ ἀντιλέγοντές
B φασιν, ὡς καὶ ἀφ' ἑνικῆς συνθέσεως τῆς ἑνδε-
κατος τὸ ἑνδέκατοι πληθυντικὸν ἐγίνετο, τήν
τε χρῆσιν ὡς ὑγιῆ πιστοῦνται διὰ τῶν Πλα-
τωνικῶν παραδειγμάτων· τάς τε κατὰ τὸ τρί-
τον πολλάκις διαφεύγειν τὰ τῶν κατὰ τὸ πρῶ-
τον καὶ δεύτερον. δυϊκαὶ γοῦν εἰσὶν εὐθεῖαι
πρώτου καὶ δευτέρου προσώπου, ἀλλ' οὐκέτι
καὶ τρίτου. τί οὖν θαυμαστόν, εἰ καὶ τρίτου
εἰσί, πρώτου καὶ δευτέρου οὐκ οὐσῶν; ἄλλως
τε καὶ ἄλλαι λέξεις κατὰ τύχην ἐσιγήθησαν·
C οὕτω καὶ αἱ προκείμεναι. Ἀλλ' ἔμοιγε δοκεῖ ὁ
τοῦ Ἀριστάρχου λόγος κριτικώτερος εἶναι, ἔχοι
δ' ἂν οὕτω τὰ τῆς ἐπικρίσεως. Παντὶ προῦ-
πτον ὡς ἡ πλείων παράθεσις τῆς ἐλάσσονος
κανών. ὅθεν εἰ δεκάδυο σχήματα ἐσιγήθη,
πάσης πτώσεως τέσσαρα δυϊκῶν καὶ πληθυν-
τικὰ πρώτου καὶ δευτέρου προσώπου, δηλονότι
γενικῆς καὶ δοτικῆς καὶ αἰτιατικῆς, πρὸς τρία
πληθυντικὰ τρίτου προσώπου, γενικῆς, δοτικῆς,

αἰτιατικῆς, πῶς οὐχὶ παράλογα τὰ τρία
A πρὸς τὰ δώδεκα; Ἀλλὰ τρίτα οὐκ ἔστι, πρώτου καὶ δευτέρου ὄντος. Εἰ μὲν οὖν τὰ ἄλλα πάντα τρίτα ἐσεσίγητο, κἂν ἦν τις πιθανότης τοῦ καὶ τὰ τρίτα ὄντα πρῶτον καὶ τρίτον μὴ εἶναι. εἰ δὲ ἕν που ἐσιγήθη διὰ τὸ ὑφ' ἑτέρων συζυγιῶν ἀναπεπληρῶσθαι, πῶς οὐχὶ γέλοιον τοσαύτας φωνὰς συζύγως κατὰ τύχην σεσιγῆσθαι; τούτου οὖν ἐν μηδενὶ μέρει λόγου κατακολουθήσαντος, παντί τῳ δῆλον
B ὑπὲρ ἀκριβείας ἐξετάσαντι τῆς ἐν τοῖς μέρεσι τοῦ λόγου, ὡς ἡ Ὁμηρικὴ ποίησις μᾶλλον τῶν ἄλλων ἠνύσθη. ὅθεν οὐ μᾶλλον ἡ Πλάτωνος χρῆσις ἀξιοπιστοτέρα τῆς οὐκ οὔσης παρὰ τῷ ποιητῇ. Παρὸν δὲ ἐξετάσαι καὶ διὰ λόγου τὸ ἀληθές. ἀπὸ ἑνικῶν συνθέσεων πληθυντικαὶ ἐκφοραὶ γίνονται κατὰ τὸ τέλος, ἀνδροφόνος - ἀνδροφόνοι, ἑνδέκατος - ἑνδέκατοι. ὅθεν καὶ ἀπὸ τοῦ ἑαυτόν τὸ ἑαυτούς πεσεῖται. οὐδὲν γὰρ κωλῦον τὰ προκείμενα εἰς
C πλῆθος μετάγειν· ἐν δυσὶ γὰρ προσώποις ἕκαστον αὐτῶν ἀκούεται. ὁ γὰρ ἄνδρα φονεύσας ἢ ὁ μετὰ δέκα εἷς ἢ οἱ μετὰ δέκα πλείονες ἀνεμποδίστως εἶχον τὸ ἕτερον τῶν προσώπων πληθυντικόν· τὸ μέντοι τῆς ἀντωνυμίας σχῆμα ἠδυνάτει, ἅτε δὴ καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου λαμβανόμενον, κατὰ μὲν τὸ τέλος τῆς συνθέσεως εἰς πλῆθος μετάγεσθαι, κατὰ δὲ τὸ ἄρχον εἰς ἕν, ἐπεὶ ἕνεκα τούτου ἑνικὸν

A καὶ πληθυντικὸν ἐνοεῖτο διὰ μιᾶς φωνῆς καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου, ὅπερ ἄλογον. εὐλόγως ἄρα τὰ σχήματα ἐσιγήθη.

Τὸ ἄρχον μέρος αἱ σύνθετοι κινοῦσαι προσωπα παρίστασιν, ὁμοίως ταῖς ἁπλαῖς, τὸ δὲ τέλος, ὅτε γένος· ἐμαυτόν γὰρ καὶ ἐμαυτήν. ὅθεν ἐπιστατέον τῷ οὐδετέρῳ σχήματι κατ' αἰτιατικὴν σιγηθέντι, ἐπεὶ ἴσως καὶ ἡ καταλῆξις συνήγετο εἰς ō κατ' ὀξὺν τόνον, καθὸ αἱ οὐδέτεραι τῶν ἀντωνυμιῶν, χωρὶς τῶν
B κτητικῶν, εἰς ō ἔληγον μετὰ τάσεως τῆς τοῦ ἀρσενικοῦ, ὅπερ ἐν μέρει λόγου οὐκ ἐνὸν εὑρέσθαι, τῆς ἀπό καὶ ὑπό ὑφαιρουμένων, καθότι ἀδύνατον πρόθεσιν βαρύνεσθαι, χωρὶς εἰ μὴ ἀναστρέφοιτο· οὐδὲ γὰρ Αἰολεῖς τὸν ἐπὶ ταύταις τόνον ἀναβιβάζουσιν· ὑπολείπεται οὖν σημειούμενον τὸ αὐτό καὶ, εἰ ἕν ἐστι, τὸ εἰσό. ἀλλ' εἰ καὶ τοῦτο ἁπλοῦν ἐστίν, οὐ πάντως καὶ τὸ ἐξ αὐτοῦ σύνθετον, λέγω δὲ τὸ ἐμαυτό· ὑπὸ γὰρ ἀκριβεστέρου λόγου ἐμποδί-
C ζεται. εἴ τι γὰρ οὐδέτερόν ἐστιν αἰτιατικῆς πτώσεως, τοῦτο καὶ εὐθείας ἐστίν· ἀλλ' ἀδύνατον τὸ τῆς εὐθείας συνίστασθαι· εὐλόγως ἄρα καὶ τὸ τῆς αἰτιατικῆς σχῆμα ἐσιγήθη. ἀλλ' εἰ ἅπαξ Εὐριπίδης ἐχρήσατο ἐπὶ δευτέρου προσώπου ἐν τῷ

ἔγειρέ μοι σεαυτὸ καὶ γίγνου θρασύ,

τοῦτο οὐ κανὼν γενήσεται τοῦ εὐλόγως σιγηθέντος σχήματος.

Περισσὸν οὖν ἐστὶ ζητεῖν, εἰ κατ' ἀκολου- A
θίαν φωνῆς οὐκ ἔχουσιν εὐθεῖαν αἱ σύνθετοι,
ἀλλ' οὖν γε κατὰ τὸ σημαινόμενον· ὡς ἡ ἐγὼ
πρὸς τὴν ἐμοῦ, οὕτως ἡ ἐγὼ αὐτός πρὸς τὴν
ἐμαυτοῦ. ἅπαξ γὰρ ἐδείχθη, ὡς ἕνεκα τῶν
αὐτοπαθῶν ἀντωνυμιῶν τὴν σύνθεσιν ἀνεδέ-
ξατο, ὅπερ ἐν μόναις πλαγίοις ἑωρᾶτο. οὔτε
ἐν συνθέσει οὖν εὐθείας ἔχουσιν, οὔτε ἡ ἐμαυ-
τοῦ γενική ἐστι τοῦ ἐγὼ αὐτός. ἐγὼ γὰρ
αὐτὸς ἤκουσα, καὶ κατὰ τοῦ αὐτοῦ προσ-
ώπου μετοχῆς ἐπιφερομένης, ἐμοῦ αὐτοῦ B
ἀκούσαντος, ὡς Ἀρίσταρχος εἶπεν, Ἀρι-
στάρχου εἰπόντος. οὐκ ἔστι δέ τις εὐθεῖα
ἡ ἔχουσα γενικὴν συντασσομένην τῷ αὐτῷ ῥή-
ματι. ἔτι τὸ ἐγὼ αὐτὸς ἤκουσα σημαίνει
ἔξωθέν τινα φωνήν, τὸ δὲ ἐμαυτοῦ ἤκουσα
οὐκέτι.

Εἰ τὰ σύνθετα καθ' οἱανδήποτε πτώσιν
μένει κατὰ πᾶσαν πλάγιον, σύνθετον δὲ τὸ
ἐμωυτοῦ παρ' Ἴωσι καὶ παρ' ἡμῖν, καθὸ καὶ
ὁ τόνος ὁμολογεῖ· μία γὰρ ἡ περισπωμένη· τί C
δήποτε τὸ ἐν τῇ αἰτιατικῇ σχῆμα ἐσημειοῦτο,
ὡς οὐ δυνάμενον τὴν διὰ τοῦ ω̃ γραφὴν ἀνα-
δέξασθαι, εἴ γέ φασι τὸ ε̃ καὶ τὸ α̃ οὐκ εἰς
ω̃ κιρνᾶται; ἄλλως τε εἰ καὶ κατὰ πτῶσιν
συνετίθεντο, οὐδὲν ἦν τὸ κωλῦον ἐν τῇ ἐμαυ-
τόν αἰτιατικῇ τὸ α̃ εἰς ω̃ μετατίθεσθαι Ἰωνι-
κῷ ἔθει, καθάπερ καὶ τὸ αὐθαδὴς-αὐτώδης.

Ἡ ἘΜΟΥΣ, κοινὴ οὖσα Συρακουσίων καὶ

A Βοιωτῶν, καθὸ καὶ Κόρινna καὶ Ἐπίχαρμος
ἐχρήσαντο, πρὸς ἐνίων ἐδόκει κατωρθῶσθαι
τῆς δίχα τοῦ σ̄ προφερομένης, εἴγε τὰ εἰς ω̄
λήγοντα εἰς ους̄ κατὰ γενικὴν λήγει. Πρῶτον
μὲν οὐ παρὰ Δωριεῦσιν· ἔπειτα τὸ σύμφωνον
αὐτοὺς ἔλαθε· ποῦ γὰρ τῆς εὐθείας τὸ γ̄; B
πῶς δὲ καὶ τὸ δεύτερον εἰς ους̄ λήγει; τεοῦς
γάρ, τῆς εὐθείας εἰς ῦ̄ ληγούσης. Ἔτι καὶ
ἘΜΕΟΣ οἱ αὐτοὶ Δωριεῖς, καὶ ἐν συναλοιφῇ
ἘΜΕΥΣ· αἱ χρήσεις παρ' Ἐπιχάρμῳ. ἡ μέν-
B τοι ἘΜΕΙΟ καὶ ἔτι ἘΜΕΙΩ καὶ ἔτι σὺν τῷ
σ ἘΜΕΙΩΣ, καὶ ἘΜΩΣ δισυλλάβως, παρὰ
Ῥίνθωνι.

Ἰτέον ἐπὶ τὰς κατὰ τὸ δεύτερον.

Τῇ μὲν οὖν ἐμοῦ σύζυγος ἡ ΣΟΥ, πά-
λιν τὴν αὐτὴν ὁμοφωνίαν ἀναδεδεγμένη κτητι-
κῇ τε καὶ πρωτοτύπῳ· τῇ δὲ ἐμεῦ ἡ ΣΕΥ,
ἐμέο-ΣΕ΄Ο, ἐμεῖο-ΣΕΙΟ, ἐμέθεν-ΣΕ΄ΘΕΝ,
συνθέτῳ τε τῇ ἐμαυτοῦ ἡ ΣΑΥΤΟΥ. ἀλλὰ
μὴν καὶ τῇ ἐμοῦς Δωρίῳ ἡ ΤΕΟΥΣ, Ἡρα-
C κλῆς τεοῦς κἀῤῥων ἦν, Σώφρων, καὶ ἔτι
Κόρινna·

περὶ τεοῦς Ἑρμᾶς ποτ' Ἄρνα πουκτεύει.

Ἔστι καὶ ἡ ΤΙΟΥΣ, διὰ τοῦ ῑ̄, ἣν καὶ ἀνα-
λογωτέραν ἡγητέον, ἐπεὶ τὸ ε̃ εἰς ῑ̄ μεταβάλ-
λουσι, φωνήεντος ἐπιφερομένου. Ἔτι τῇ ἐμέος
ἡ ΤΕ΄ΟΣ κατ' ἔγκλισιν σύζυγος, ἐκπεφήνα-
τί τεος αἱ δυςθαλίαι, Σώφρων· τὸ γὰρ
ὀρθοτονούμενον κτητικὴν σημαίνει.

ΤΕΥΣ. Αὕτη σύζυγος τῇ ἐμεῦς. Ἐπί- Α
χαρμος ἐν Κωμασταῖς ἡ Ἀφαίστῳ·

οὐδεποτ' ἴοι γινετ' ἐγων τευς ἀξιω·
καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθών,

Θεόκριτος. ἔστι δὲ καὶ Βοιωτιακὸν δῆλον ὡς·

τεῦς γὰρ ὁ κλᾶρος.

ὃ περισπασθὲν τὴν πρωτότυπον σημαίνει· ἴσον γὰρ ἔσται τῷ σοῦ, οὐκ ἄλλης· τὸ δὲ ἐν ὀξείᾳ τάσει, ἐν μέντοι τῇ ἀναγνώσει ἐγκλιθέν, ἴσον τῇ σός.

Ἡ ΣΕΟ μεταβάλλει τὸ σ̄ εἰς τὸ τ̄ πα- Β
ρὰ Δωριεῦσιν. Ἀλκμάν·

ἐμὲ Λατοίδα τέο δ' αχοσχορον

καὶ ἔτι ΤΕΥ.

Ἀπὸ τῆς σοῦ Δώριος ἐγίνετο ἡ ΤΕΟΥ ὁμότονος, μεταθεῖσα τὸ σ̄ εἰς τὸ τ̄ καὶ πλεονάσασά τῷ ε̄, καθάπερ καὶ ἡ σός ἐν τῷ ΤΕΟΣ. Τινὲς μέντοι ἠξίουν βαρυτονεῖν, οἰόμενοι ἀπὸ τῆς τέο τὴν τοῦ ῡ πρόσθεσιν γεγενῆσθαι. Ἡ χρῆσις παρ' Ἐπιχάρμῳ καὶ Σώφρονι·

αἰνοδρυφὴς δὲ τάλαινα τεοῦ κάτα τυμ- C
βοχόησα.

Σώφρων· οὐχ ἥσσων τεοῦ. Ἐπίχαρμος·

παιδὶ τεοῦ.

Καὶ ἔτι ἡ ΤΙΟΣ. Ἡ μέντοι ΤΙΩ καὶ ΤΙΩΣ, συζυγοῦσαι τῇ ἐμέω καὶ ἐμέως, πάλιν παρὰ τῷ αὐτῷ Ῥίνθωνι εἴρηνται.

Εἰ αἱ ὁμοιοκατάληκτοι ἐν δευτέροις προσώποις· ταῖς κατὰ τὸ πρῶτον ἀποβολῇ τοῦ σ̄ τὰ

Α τὰ τρίτα ἀποτελοῦσι, συμφανὲς ὡς καὶ ἀπὸ τῆς σοῦ ἡ ΟΥ πρωτότυπος γενήσεται, πάλιν ὁμοφωνοῦσα τῇ ἀπὸ τῆς ὅς γενικῇ συνάρθρῳ. Τὴν μὲν οὖν χρῆσιν παρ' Ὁμήρῳ οὐκ ἐνὸν εὑρέσθαι, παρὰ μέντοι Ἀττικοῖς· καὶ γὰρ Πλάτων συνεχῶς ἐχρήσατο, οἵ τε κωμικοὶ καὶ τραγικοί. ὁ μέντοι Ζηνόδοτος καὶ τὸ

ἀπὸ ἕο χειρὶ παχείῃ

διὰ τῆς ου ἔγραφεν. ὅπερ παραπεμπτέον, οὐχ ὡς μὴ πρωτότυπον, ἀλλ' ὡς μὴ σύνηθες· τῇ
Β γὰρ εἰς ου καταλήξει χρῆται ὁ ποιητὴς ἐπὶ μόνης κτητικῆς, τῇ δὲ ἐμεῦ καὶ ταῖς συζύγοις ἀντὶ τῶν πρωτοτύπων μόνων,

πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι·

ἐπὶ δὲ τῆς πρωτοτύπου

ἐμεῦ δ' ἔλετο μέγαν ὅρκον.

Ἡ ΕΥ ἀπὸ τῆς σεῦ, ἐν ἐγκλίσει,

εἴ πώς εὐ πεφίδοιτο.

κἀκεῖνο δέ τινες ὀρθοτονοῦσι προσπνέοντες,

φρίξας εὖ λοφιήν·

C ἀντὶ τοῦ τὴν αὐτοῦ.

Ἡ ΕΟ κατ' ἔγκλισιν,

ἐπεί ἕο κήδετο λιήν·

καὶ κατ' ὀρθὸν τόνον,

ἀπὸ ἕο χειρὶ παχείῃ.

Εἴρηται δὲ περὶ τῆς ΕΙΟ, ὡς μόνως ὀρθοτονεῖται.

Ἡ ΕΘΕΝ ὀρθοτονεῖται μέν, ὡς ἐπὶ τοῦ

ἀπὸ ἕθεν ἦκε χαμᾶζε,

ἐγκλίνεται δέ, ὡς ἐπὶ τοῦ A

ἐπεὶ οὔ ἑθέν ἐστι χερείων.

Οὐ γάρ, ὡς ἔνιοι, χρὴ μόνως ὀρθοτονεῖν, ὅτι καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον ὀρθοτονεῖται μόνως· ἰδοὺ γὰρ καὶ ἐπὶ τῶν δυϊκῶν, ὀρθοτονουμένων τῶν πρώτων καὶ τῶν δευτέρων, τὰ τρίτα ἐγκλίνεται. ἄλλως τε τὸ ἔτι μεθ' ἓν ἀ καρδία παδῇ ἐγκέκλιται. οὐκ ἐπειδὴ οὖν κατὰ τύχην παρ' Ὁμήρῳ τὰ πρῶτα ὠρθοτονήθη, εὐθέως καὶ τὰ τρίτα.

Σαφὲς ὅτι καὶ τὸ Αἰολικὸν δίγαμμα ταῖς B
κατὰ τὸ τρίτον πρόσωπον προσνέμεται, καθὸ καὶ αἱ ἀπὸ φωνήεντος ἀρχόμεναι δασύνονται. Ἀλκαῖος·

ὥστε θεῶν μηδέν' Ὀλυμπίων

λῦσαι ἄτερ Fέθεν.

Ἕους. Αὕτη ἀκόλουθος Δωρικῇ τῇ τεοῦς. ᾗ συνεχῶς καὶ Κόριννα ἐχρήσατο. ἐν Κατάπλῳ·

νίκασ' ὁ μεγαλοσθένης
Ὠαρίων, χώραν τ' ἀπ' ἐοῦς C
πᾶσαν ὠνούμενεν.

Ἑου. Αὕτη τῇ τεοῦ ἀκόλουθος, ἀποβολῆς γενομένης τοῦ κατ' ἀρχὴν συμφώνου. εἴρηται κατ' ἀρχὴν περὶ τοῦ πλεονάσαντος ε̄ κατὰ τὸ δεύτερον πρόσωπον.

Τῆς Ἐκεινος καὶ Ουτος αἱ γενικαὶ παρὰ Δωριεῦσι διὰ τοῦ ω̄, ΤΗΝΩ καὶ ΤΟΥΤΩ, τοῦ τέλους βαρυτονουμένου. πρὸς τῷ καὶ

A τὸν λόγον ἀπαιτεῖν, καθότι βαρύτονοι αἱ εὐθεῖαι, καὶ τὸ πλεῖστον τῆς χρήσεως οὕτως ἔχει. πρὸς οἷς καὶ τὸ τουτῶ περισπώμενον ἐπιῤῥήματός ἐστι παραστατικόν, τουτῶ θάμεθα, Σώφρων. τὸ δὲ ΑΥΤΩ περισπασθήσεται, ὅτι καὶ τὸ αὐτός ὀξύνεται.

Τὴν Ἑαυτοῦ φασὶν ὠλιγωρῆσθαι, καθὸ τὴν μὲν ἐν ἀρχῇ σύνθεσιν αἰτιατικῆς ἔχει, τὸ δὲ τέλος γενικῆς. Ἀλλ' οὔτε τὰ σύνθετα τὴν αὐτὴν κλίσιν ἀναδέχεται τοῖς κατὰ παρά-
B θεσιν, ἐπεὶ ἰδοὺ τὸ λεοντοφόνος ἐκ γενικῆς συνεστὸς εἰς αἰτιατικὴν ἀναλύεται, ὁ λέοντα φονεύσας, καὶ τὸ φιλοπλάτων ἐξ εὐθείας εἰς αἰτιατικήν, ὁ φιλῶν Πλάτωνα· οὔτε πάντως αἰτιατικὴ ἔγκειται· τί γὰρ οὐ μᾶλλον ἢ εὖ ἐστὶ συντεθεῖσα ἢ ἡ δισύλλαβος ἢ ἕο; πρὸς οἷς οὐδὲ ἡ δοκοῦσα ἐν συνθέσει κατωρθῶσθαι ἐν δυσὶν αἰτιατικαῖς, λέγω δὴ τὴν ἑαυτόν, πάντως δύο αἰτιατικὰς σημαίνει· αὐτὸς γὰρ αὐτὸν ἔπαισεν. Κἀκείνῳ δὲ ἐπιστατέον, εἰ
C ὅλως συν τῷ ε̄ γραφήσεται ἢ δισυλλάβως μόνως, μόνον κατ' ἀρχὴν προσπνεόμενον· τὰ γὰρ τῆς χρήσεως ἐπ' ἴσης. εἴρηται ὡς αἱ ἀπὸ τοῦ σ̄ ἀρχόμεναι ὁμοιοκατάληκτοι ἀποβολῇ τοῦ σ̄ τὰ τρίτα ἀποτελοῦσιν· ὅθεν ἀκόλουθος τῇ μὲν σεαυτόν ἢ ἑαυτόν, τῇ δὲ σαυτόν ἢ αὐτόν. Φήσει τις τὴν δισύλλαβον ὠλιγωρῆσθαι, ἐν οἷς πᾶσα λέξις σύνθετος μέρος ἔχει ἑκατέρας τῶν φωνῶν. ἢ γοῦν ἐμαυτὸν, σαυτόν ἔχουσιν ἢ μὲν

τὸ ε̄, ἡ δὲ τὸ σ̄. ἀνάγκη οὖν καὶ τὴν ἑαυτόν A
μέρος ἔχειν, ὅπερ οὐκ ἄλλο γενήσεται ἢ τὸ ε̄.
Ἀλλ' ἡ τοῦ δασέος πνεύματος μονὴ ἀρκετὴ εἰς
ὑπόμνησιν τῆς συνθέσεως, ἐπεὶ τὰ τρίτα τῶν
δευτέρων οὐ πλεονοσυλλαβεῖ, εἰ μὴ ἐν πάθει
πλεονασμὸς γένοιτο, ὡς ἡ ἕοι καὶ ἑός καὶ ἕε.
Ἀλλά φασιν εἰ τὸ ε̄ τῆς εὖ ἀντωνυμίας κατὰ
τὴν σύνθεσιν ἐκθλίβεται, δῆλον ὡς καὶ τὸ
πνεῦμα ἀποβληθήσεται. Ἀλλ' οὐκ ἐκθλίβε-
ται, ἀλλὰ κιρνᾶται. ἔπειτα ἡ ἀφαίρεσις τοῦ σ̄
ἐν δευτέροις δασείας ἐστὶν ἐμποιητική, σέθεν- B
ἕθεν. δῆλον οὖν ὡς τῆς σαυτόν δισυλλάβου
ἀκόλουθον δισύλλαβον τὸ αὐτόν.

Φανερὸν ὡς οἱ προσχρησάμενοι τῇ ΕΑΥ-
ΤΟΥ͂Σ σὺν ταῖς συζύγοις ἐπὶ πρώτου καὶ
δευτέρου παρὰ τὰ πρόσωπα ἁμαρτάνουσιν,
ὅθεν καὶ τοὺς δασέως ἀναγνόντας τὸ

αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν

καὶ

ὃς δέ μοι οἷος ἔην, εἴρυτο δὲ ἄστυ καὶ
αὐτούς C

οὐ μετρίως ἂν μεμψαίμεθα, οὐκ ὀλίγην ἀπει-
ρίαν καταγγέλλοντας τοῦ ποιητοῦ διὰ τὴν ἰδί-
αν εὐήθειαν, εἴγε τρίτου καθεστῶσαι ἐπὶ πρώ-
του λαμβάνονται. πρὸς οἷς οὐδέποτε ἑνικὴ
παρ' αὐτῷ σύνθετος, μή τί γε καὶ πληθυν-
τική, ἧς τὸ σχῆμα παράλογον ἐδείχθη. καὶ εἰ
μὲν τρισυλλάβως ποτὲ εἴρητο, κἂν ἦν συμφα-
νὲς ἁμάρτημα· ἐν οἷς οὖν δισυλλαβεῖ, σαφὲς

A ὅτι ἁπλῆ ἐστί, λείπουσα ἐθίμως αὐτῷ τῇ
ἡμῶν, ἡμῶν αὐτῶν ἀπωλόμεθ' ἀφραδίῃσιν,
καὶ ἡμᾶς αὐτούς. καὶ γὰρ ἐφ' ἑνικῶν,

αὐτὸς νῦν ἰδὲ πῶμα, θοῶς δ' ἐπὶ δε-
σμὸν ἵπλον

καὶ

αὐτὸς ἑκών οἱ δῶκα.

Ἀλλὰ καὶ ἐφ' ἑνικῶν, ὡς ἂν ἀπαιτοῦντος τοῦ
λόγου, ὑπὸ τῶν περὶ τὸν Ἀσκαλωνίτην ἐκεῖναι
προεπνεύσθησαν,

B αὐτόν μιν πληγῇσιν,

ἵνα μὴ ὡς ὑπ' ἄλλου πεπληγμένος νοῆται·
καὶ

ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων

καὶ

τὴν αὐτοῦ φιλέει καὶ κήδεται,

καὶ

μέγα μὲν κλέος αὐτῆς
ποιεῖται·

ἐφ' ἧς οὐδὲ τὸ τῆς ἐπιφερομένης πτώσεως ἀρ-
C μοστέον· δέον γὰρ ποιεῖν ποθήν σὺν τῷ ν̄.
Ἀλλὰ καὶ ἐπὶ τούτων ὁ αὐτὸς λόγος εἰρήσε-
ται, ᾧ κατ' ἔλλειψιν πάλιν τῶν τρίτων ὁμοί-
ως ταῖς κατὰ τὸ πρῶτον καὶ δεύτερον ἐξηνέ-
χθησαν, εἴγε καὶ τὸ ἀκριβὲς τῆς ἀναγνώσεως
κατὰ αὐτὸ τὸ τῶν ποιητῶν σύνηθες ἐξετάζε-
ται. ἀξιοῦμεν γὰρ ἀπαρεμφάτως ἀναγινώσκειν

τὰ δ' ἄποινα δέχεσθαι

καὶ

ἐπιτεῖλαι
οὐ προπαροξύνοντες, τοῦ λόγου ἀπαιτοῦντος πρόσταξιν. δέον δὲ καὶ ἐπὶ τοῦ
μέγα μὲν κλέος αὐτῆς
ποιεῖται
ἐκδέχεσθαι τὸ γίνεται, ἐν ᾧ καὶ ἁπλῆ ἡ ἀντωνυμία νοεῖται, καὶ ἡ ἐπιφερομένη πτῶσις ἀκόλουθος. ἀλλὰ μὴν καὶ τὸ
αὐτός μιν πληγῇσιν
δασυνόμενον τρεῖς ἀντωνυμίας παραλήψεται· διὸ καὶ ὁ Πινδαρίων διὰ τοῦ ἕ ἔγραφεν, ὅ τε Ἰξίων ἀξιοῖ, ὥστε ἀντὶ τῆς ἑ τὴν μίν παρειλῆφθαι. ὅπερ βέλτιον ἐπὶ τῶν τοιούτων παρέλκεσθαι τὴν μίν ὁμοίως τῷ
ἥ μιν αὐτόν·
κἀδ δέ μιν αὐτὸν
εἰλύσω ψαμάθοισιν,
ἢ, ὡς Τρύφων φησίν, ὅμοιον εἶναι τῷ σφέας αὐτούς αὐτοὶ αὐτούς καὶ αὐτὸς αὐτόν, ᾧ ἀντέκειτο τὸ μὴ ἐν δυσὶν ὀρθοτονουμέναις λαμβάνεσθαι τὸ αὐτόν μιν ὁμοίως τῷ σφέας αὐτούς. Τὸ
εὖ ἐντύνασάν ἑ αὐτήν
καὶ
πυκάσασάν ἑ αὐτήν
μόνως ἐν διαλύσει ληπτέον, εἴγε ἀσύνθετος ἐν τῷ καθόλου ἡ τῶν ἀντωνυμιῶν χρῆσις παρ' αὐτῷ· ἄλλως τε καὶ ἐλέγχονται ἐκ τῶν συζυγιῶν ἀρσενικῶν,

ἕο δ' αὐτοῦ πάντα κολούει
καὶ
ἕε δ' αὐτόν,
ἐφ' ὧν καὶ μέσους συνδέσμους ἔταξεν. Καὶ παρὰ τοῖς Αἰολικοῖς δὲ ὡς ἐν παραθέσει ἀνεγνώσθη
ἔμ' αὖτα τοῦτ' ἔγων σύνοιδα·
ἔμ' αὖτῳ παλαμάσομαι.
ἀλλ' ἐμάχετο τὸ
νόῳ δ' ἑαύτῳ πάμπαν ἀέρρεται,
ἅπερ ἀσύνηθες ἐν ἁπλότητι μὴ οὐχὶ τὸ ἑ προσλαμβάνειν. καὶ ἔτι ὁμοίως παρὰ τῷ αὐτῷ Ἀλκαίῳ ἐν ἑβδόμῳ·
σὺ δὲ σαυτω τομαισ εση αλλα σαυτω
μετεχων αβασ προσποσιν.
πῶς γὰρ τὰ τοιαῦτα σύνθετα, τῶν πρώτων ἐν διαλύσει ὄντων; δῆλον οὖν ὡς ἀνώμαλος ἡ ἀνάγνωσις τῶν πρώτων πρὸς τὰ ἑξῆς.

Αἱ κατὰ τὸ πρῶταν καὶ δεύτερον πρόσωπον τῆς δοτικῆς ὀξυνόμεναι τὴν κατὰ τὸ τρίτον περισπωμένην ἔχουσι· σαὶ μὲν γὰρ ἐγώ, σὺ δ' ἐμοί· ἐπὶ δὲ τοῦ
ἢ ὀλίγον οἱ παῖδα
περισπῶμεν. ὅθεν ὡς παράλογον ὁ Σιδώνιος ὤξυνεν, ᾗ αἱ ὁμοιοκατάληκτοι καὶ ὁμότονοι κατὰ πᾶν πρόσωπον. Καὶ ἕνεκα μὲν τῶν δύο πρὸς τὸ ἓν τὸ ἓν εὐθύνεται, ἕνεκα δὲ τῆς τῶν φωνῶν ἀκολουθίας εὐθύνονται αἱ δύο. πᾶσα γὰρ δοτικὴ μακροκατάληκτος οὐδέποτε ὀξύνε-

ται· αἱ γὰρ ὀξυνόμεναι βραχυκατάληκτοι, καὶ
A διὰ τοῦτο μᾶλλον τὸ ἐμίν Δώριον ἀνάλογον.
ὁμότονοί εἰσιν αἱ γενικαὶ ταῖς δοτικαῖς ἰσοσυλλαβούσαις· πῶς οὖν αὗται ὀξύνονται, τῶν γενικῶν περισπωμένων; ἀνάλογος ἄρα ἡ οἷ. αἱ μωνοσύλλαβοι δοτικαὶ περισπῶνται· ἀνάλογος ἄρα ἡ οἷ. ὁμοτονοῦσιν αἱ κτητικαὶ ταῖς πρωτοτύποις, ἐμός - ἐγώ, ἐμόν - ἐμέ, σόν - σέ· εἰ οὖν ἐμῷ καὶ σῷ, πῶς οὐχὶ καὶ ἐμοῖ καὶ σοῖ; ἀνάλογος ἄρα ἡ οἷ. Ἀλλά φησιν ἡ μὲν ἐμοῦ διαιρεῖται, ἡ δὲ ἐμοί οὐκέτι. Ἀλλ' οὐ
B τοῦτο αἴτιον γενήσεται τῆς τάσεως, εἴ γέ τινα περισπώμενά ἐστιν ἀδιαίρετα καὶ ὀξυνόμενα διαιρούμενα. ἐκεῖνο οὖν ῥητέον, ὡς πολλάκις τὴν ἀκολουθίαν διαψεύδονται αἱ ἀντωνυμίαι· τοιαῦται οὖν καὶ αἱ προκείμεναι.

Ἀττικοὶ Ἄμοιγε. Αἰολεῖς Ἔμοι βαρέως. Βοιωτοὶ διὰ τοῦ ῡ, Ἐμῦ, συνήθως, καθότι καὶ τὸ καλοί καλύ. Δωριεῖς Ἐμίν καὶ ἔτι Ἐμινγα. Σώφρων· μόνον ἐμινγα τὸ τοῦ γόγγρου τέμαχος. Ἡ Ἐμίνη συν-
C ήθης Ταραντίνοις· ἡ δὲ χρῆσις παρὰ Ῥινθωνι.

ΣΟΙ. Ἀττικῶς. Ἴωνες, Αἰολεῖς ὁμοίως·

σοὶ δ' ἔγων λεύκας ἐπὶ βῶμον αἴγος,

Σαπφώ. καὶ τὸ κατὰ ἀπόλυτον διὰ τοῦ τ̄·

καὶπιλείψω τοι.

καὶ σαφὲς ὅτι μᾶλλον Δώριος ἡ μετάληψις, παρ' οἷς τὸ σ̄ τῶν ἀντωνυμιῶν τ̄ γίνεται. τῶν

A δὴ ἀπολύτων διὰ τοῦ τ̄ λεγομένων μόνη σημειούσθω διασταλτικὴ οὖσα ἡ

νῦν δέ τοι οἵῳ πάμπαν.

τὸ γὰρ

οὗτοι τέκνον ἐμὸν δέδοται·

δύναται ἔχειν τὸν λόγον οὕτως, οὐ δέδοταί σοι πολεμήια ἔργα, ἀλλὰ τῷ Ἄρει· σὺ οὖν μετέρχου τὰ ἔργα τοῦ γάμου· ἵνα πρὸς τὸν Ἄρην ἡ σύ διαστέλληται. ὀρθοτονεῖται δὲ καὶ παρ' Ἀλκμᾶνι, συνήθως Δωριεῦσιν·

B ἄδοι Διὸς δόμῳ ὁ χορὸς ἁμὸς καὶ τοί,

Γάναξ.

Λέγεται δὲ καὶ ΤΙΝ καὶ ἔτι μετ' ἐπενθέσεως τοῦ ε̄ ΤΕΙΝ. ἰδιώς γὰρ ἡ μετάθεσις ἡ εἰς τὸ τ̄ τοῦ ε̄ δεκτικὴ ἐστι, σοῦ - τοῦ - τεοῦ, σός - τεός. Τίθεται παρὰ Κορίννῃ καὶ ἐπ' αἰτιατικῆς ἐν Κατάπλῳ,

οὐ γάρ τιν ὁ φθονερὸς δαίμων·

ἀντὶ τοῦ σέ, καὶ σαφὲς ὡς κατ' ἐναλλαγὴν πτώσεως. Τινὲς μέντοι ἠξίωσαν τείνειν τὸ ῑ,
C ἵνα ἐκ τῆς τέ παρὰ Δωριεῦσι διὰ τοῦ ε̄ γραφομένης ᾖ ἐσχηματισμένη, μεταθέσει τοῦ ε̄ εἰς τὸ ῑ, ὅπερ σύνηθες, προσειληφυῖά τε τὸ ν̄ ὁμοίως τῷ ἐκεινοσίν, οὑτοσίν. ἀλλὰ ἀντίκειται τὸ μόνον ἐν τρίτοις τὸ ν̄ προσέρχεσθαι.

Σύζυγος τῇ ἐμίνη ἡ ΤΙΝΗ, ἣ ἔστι παρὰ Ταραντίνοις.

ΟΙ. Συνήθης Ἀττικοῖς καὶ Ἴωσι. πεζολόγοι ἐχρήσαντο Πλάτων καὶ Ξενοφῶν. εἴρηται

ὡς ὀρθοτονουμένη περισπᾶται, τῶν συζύγων ὀξυνομένων. Αἰολεῖς σὺν τῷ F·

φαίνεταί Foι κῆνος,

Σαπφώ. Βοιωτοὶ συνήθως εἰς τὸ ἔ μεταλαμβάνουσι. καὶ Δωριεῖς ὁμοίως ἡμῖν λέγουσιν οὐκέτι οἰδω, Σώφρων. Ἡ μετὰ τοῦ ε̄ μόνως ὀρθοτονεῖται. εἴρηται δὲ ὡς καθόλου αἱ πλεονάσασαι τῷ ε̄ μόνως ὀρθοτονοῦνται. Τῇ τίν σύζυγος ἡ ΕἸΝ, τοῦ τ̄ ἀρθέντος. Ἡσίοδος·

ἐν δ' αὐτῷ θανάτου ταμίης.

ἔστι καὶ ἡ ΕΙ῾Ν ἀπὸ τῆς τεῖν παρὰ Ἀντιμάχῳ καὶ Κορίννῃ, ἐπὶ δοτικῆς ἔσθ' ὅτε παραλαμβανομένη. B

Ἡ ΕΜΕ῾ πρὸς πασῶν διαλέκτων λέγεται. παρὰ Δωριεῦσι μετὰ τοῦ ῑ̄, ΕΜΕΙ῾, ᾗ συνεχῶς Ἐπίχαρμος χρῆται. κοινῶς μέντοι ὁ Σώφρων· τί οὐ παρ' ἔμ' ἐστράφθη. Ἡ ἀπολελυμένη οὐκ ἐπεκτείνεται.

Ἡ ΣΕ῾ ὁμοίως πρὸς πάντων κοινή. Δωριεῖς διὰ τοῦ τ̄·

εἰς τὲ καταῤῥεῖ, C

Θεόκριτος·

πρὸς δὲ τὲ τῶν φίλων,

Ἀλκμάν· καὶ ἔτι μετὰ τοῦ ῑ̄,

τεῖ γὰρ Ἀλεξάνδρῳ δαμασαι.

καὶ ἔτι κοινῶς·

σὲ γὰρ ἄζομαι.

Εἴρηται ὡς ἡ ἐγκλινομένη διὰ τοῦ τύ ἐκφέρεται.

Ἡ Ἔ σύζυγος τῇ σέ, κοινὴ ἐν διαλέκτοις. A
Αἰολεῖς μετὰ τοῦ F. Τὸ

ἓε δ' αὐτὸν ἐποτρύνει

εἰ κατὰ τὸ ἄρχον ὀξύνοιτο, δῆλον ὡς παράλογον ἔξει τὸν τόνον. εἴτε γὰρ τὸ δεύτερον ε̄ ἐπλεόνασε, δῆλον ὡς καὶ ἐν αὐτῷ ὁ ὀξὺς τόνος γενήσεται, ὁμοίως τῷ ἤ καὶ ἠέ, καὶ ἦλιος καὶ ἠέλιος. οὕτω γάρ τινες ὑπέλαβον ἐκ τοῦ τὸ ἄρχον δασύνεσθαι, ὅπερ ἴδιον ἦν τῆς ἀντωνυμίας. ἐλελήθει δὲ αὐτούς, ὅτι ἀρκτικὴ B οὖσα ἡ δασεῖα ἐπὶ τοῦ πλεονασμοῦ ἀνατρέχει, ἑώρων καὶ ἕεδνα. ἄλλως τε τὸ πλεοναζον ε̄ ἐξέπεσεν ἐν ἀντωνυμίαις, ἑός, ἕου, ἕοι. εἴτε τὸ ἄρχον, ὅπερ ἔστι, πάλιν τῆς ἀντωνυμίας φυλάξει τὸν τόνον, εἴγε οἱ πλεονασμοὶ τοὺς τόνους τηροῦσιν, ἕοι, ἕου. ὑπόψυχρον δὲ τὸ λέγειν ὡς ἐδιπλασιάσθη ἡ ἀντωνυμία, πρὸς οὐδὲν χρειῶδες τριῶν ἀντωνυμιῶν παραλαμβανομένων, συνήθους τε ὄντος τοῦ κατὰ τὸ ε̄ πλεονασμοῦ.

C Οὐκ ἔστι παρὰ Δωριεῦσιν ἐν τρίτῳ ἡ διὰ τοῦ ῑ̄ ἐπέκτασις ὁμοίως τῇ τεῖ καὶ ἐμεῖ.

Ἡ ΜΙ῾Ν μόνως ἐγκλίνεται. διὸ καὶ ταῖς ἐγκλινομέναις μόναις ἰσοδυναμεῖ, οὐκέτι δὲ καὶ ταῖς ὀρθοτονουμέναις, ἐν οἷς κατ' ἀρχὴν ἐκεῖναι τιθέμεναι, λέγω δὲ τὴν αὐτόν, τὴν ἕ, οὐκ ἔχουσι τὴν μίν ἀνθυπαγομένην· εἴρηται γὰρ ὡς ἀδύνατον ἐγκλιτικὸν μόριον ἐν ἀρχῇ εὑρέσθαι. Ἔτι διαφέρει τῆς αὐτόν ἡ μίν, ᾗ ἡ ἐξ αὐτῆς

μὲν μετάληψις γίνεται εἰς τὴν αὐτόν, οὐκέτι Α
δὲ ἡ αὐτὸν εἰς τὴν μίν μεταλαμβάνεται, ἥνικα ἐν πρώτῳ καὶ δευτέρῳ ἐστί. τοῦτο δὲ καὶ ἐπὶ τῶν κατὰ τὸ τρίτον πασῶν.

Ἴωνες διὰ τοῦ μ̄, Δωριεῖς δὲ διὰ τοῦ ν̄.

Ἔτι καὶ ἡ νίν τάσσεται ἐπὶ πλήθους·

ὅστις δὴ τρόπος ἐξεκυλίσθη νιν,

Πίνδαρος Ἰσθμιονίκαις·

προσφωνεῖτέ νιν ἐπὶ νίκαις,

Βακχυλίδης· καὶ πλεῖστα ἄλλα. ὁ δὲ πλάνος τῆς τοιαύτης ἀφορμῆς ἴσως ἐρρύη ἐκ τοῦ Β

εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά,

ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι·

καὶ

ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,

καὶ

οὐκ ἄν τίς μιν ἀνήρ.

ἦν δὲ τὰ τοιαῦτα ἐπὶ τὴν συνωνυμίαν φερόμενα τοῦ δῶμα, ὁμοίως τῷ C

νεφέλη δέ μιν ἀμφεκάλυπτε,

τὸ μὲν οὖ ποτέ·

τὸ νέφος·

αἱ μὲν ἀγχιστῆναι —· τὰ δ' ἐρῆμα φοβεῖται·

ἐννῆμαρ μέν —· τῇ δεκάτῃ δέ.

ἐποίσει γοῦν

Α γιγνώσκω δ' ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται.

τὸ δ' ἐπὶ τοῦ Ἄρεος καὶ Ἀθηνᾶς

οὐδ' εἰ μάλα μιν χόλος ἤκει,

ὡς εἰ ἔλεγε χωρὶς ἐφ' ἑκάστου. τὸ γὰρ πληθυντικὸν ἐφ' ἑνικοῦ μεταλαμβανόμενον καὶ εὔλογον καὶ σύνηθες, εἴγε ἐμπεριεκτικόν ἐστι τὸ πλῆθος τοῦ ἑνός, οὐκέτι δὲ τὸ ἑνικὸν τοῦ πληθυντικοῦ. καὶ ἔτι ἐπὶ δυϊκοῦ. διὸ πάλιν τὸ δυϊκὸν οὐκ ἔστιν ἐπὶ πληθυντικοῦ· τὸ γὰρ

Β κρινθέντε δύω καὶ πεντήκοντα

πρὸς τὰ δύο, καὶ τὸ

οἶνον πινόντων

ἀνὰ τοῦ πινέτωσαν Ἀττικόν ἐστι. Τί οὖν οὐχὶ καὶ τὰ δύο ἐφ' ἑνός τάσσεται; Ὅτι καὶ τὸ δυϊκὸν ὄνομα κύριον ἀριθμοῦ, ὅμοιον τῷ δηγον· τὸ δὲ πληθυντικὸν κοινὸν παντὸς ἀριθμοῦ τοῦ ὑπὲρ τὴν δυάδα.

Αἱ δυϊκαὶ κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον πάσης πτώσεως μόνως ὀρθοτονοῦνται·

C καὶ ἡ αἰτία εἴρηται. Εὐθείας μὲν καὶ αἰτιατικῆς κοινῶς, ΝΩΙ, ΣΦΩΙ· Ἀττικαὶ δὲ τῶν αὐτῶν πτώσεων ΝΩ′ καὶ ΣΦΩ′, αἷς καὶ ὁ ποιητὴς προσχρῆται,

νὼ ἀναβησάμενοι,

σφὼ δὲ μάλ' ἠθέλετον·

γενικῆς καὶ δοτικῆς ΝΩΙΝ καὶ ΣΦΩΙΝ. μονοσυλλάβως Εὔπολις Μαρικᾷ,

νὼ γάρ, ἄνδρες, οὐχ ἱππεύομεν,

καὶ ἔτι ἐν Φίλοις A

εὐφρανῶ δὲ νώ.

τοιοῦτο δ' ἦν τὸ

οὐ γὰρ σφῷν τε γένος ἀπόλωλε τοκήων,

ὅπερ ἐδόκει ἐπίμεμπτον εἶναι, ὡς τρίτον πληθυντικὸν δίχα τοῦ ῑ γραφόμενον, τοῦ λόγου ἀπαιτοῦντος δεύτερον· πρὸς γὰρ αὐτοὺς ὑπὲρ αὐτῶν·

ἀλλ' ἀνδρῶν γένος ἐστέ.

ἡ πρόσθεσις οὖν τοῦ ῑ, ποιοῦσα τὸ Ἀττικόν, καὶ εἰς ἀκρίβειαν τὸν λόγον καθιστάνει. καὶ B ἦν ἱκανὴ ἀπόδειξις τοῦ εἶναι αὐτὴν γενικὴν δευτέρου Ἀττικὴν τὸ καὶ ταῖς εὐθείαις συνεχέστερον αὐτὸν κεχρῆσθαι. πρὸς οἷς ἀκριβὴς πάντοτε περὶ τὰς ἀντωνυμίας ἐστίν.

Αἱ Ἀττικαὶ κατὰ τὴν εὐθεῖαν ὀξυτόνως ἀνεγνώσθησαν παρὰ τῷ ποιητῇ καὶ ἅπασι τραγικοῖς τε καὶ κωμικοῖς, αἵ τε γραφαὶ οὐκ ἔχουσι τὸ ῑ προσκείμενον, οἰκεία τε πτωτικῷ ἡ διὰ τοῦ ω̄ ὀξεῖα τάσις. καὶ διὰ τοῦτο ἐπαινετέα φασίν, ᾗ καὶ ἡ γραφὴ ἀνάλογος καὶ ὁ C τόνος, ἡ

πρίν γ' ἐπὶ νῳ τῷδ' ἀνδρί.

ἡ μέντοι νῶϊ καὶ σφῶϊ πάλιν οὐκ ἀκόλουθοι, καθὸ οὐδὲν δυϊκὸν εἰς ῑ λήγει. Ἀλλ' οὕτως ἐχόντων τῶν σχημάτων, εἰς ἄπορον περίσταται ὁ λόγος. οὔτε γὰρ ἀπὸ τῶν κοινῶν αἱ Ἀττικαὶ καταστα θήσονται, οὔτε ἀπὸ τῶν Ἀττικῶν αἱ κοιναί. Εἰ γὰρ τὸ ῑ προσῆλθε τῇ

A Ἀττικῇ ὡς ὁλοκληροτέρᾳ, καθάπερ φίλοις καὶ φίλοισι, πῶς συλλαβικῆς χώρας ἔτυχε; πάντοτε γὰρ μετὰ φωνήεντος προστιθέμενον ἀδιάστατόν ἐστι, μετὰ δὲ συμφώνου συλλαβῆς τυγχάνει· τοῦ προτέρου κενή - κεινή, δέος - δείους, τοῦ δευτέρου φίλοισι, οὗτοσί, ἐκείνοσί. πῶς δὲ οὐχὶ ἐντὸς τοῦ ῑ ἡ κλίσις ἔπεσε, καθάπερ ἐπὶ τοῦ τουτουί, ἐκείνουί; φαμὲν δὲ ἔξωθεν προστιθέντες τὸ ν, ὡς ἂν τοῦ ῑ μὴ προσελκυσθότος, νῶϊν. πρὸς οἷς καὶ
B βίαιον ὁλοκληρότερον τὸ Ἀττικὸν ἐκδέχεσθαι τῆς πάντων χρήσεως. ἀλλ' εἰ διαίρεσις, ἑνὸς ὄντος τοῦ ω̄· καὶ τοῦτο ἀσύστατον. πρὸ γὰρ τοῦ ῶ τὰ τοιαῦτα, καὶ οὐδέποτε διὰ τοῦ ῑ, νυμφέων, μουσέων, ὀρέων. ἀλλ' ἴσως ἐν τῇ κατὰ διάστασιν διαιρέσει ἐστίν, ὡς κόϊλον, παΐς· καὶ εὐλόγως προπερισπασθήσεται τὸ νῶϊ διὰ τὴν τῆς βραχείας ἐπιφοράν. ἀλλὰ πολὺ πρότερον δοθήσεται διὰ τοῦ ῑ αὐτὰς γράφεσθαι, ὅπερ οὐχ εὑρέθη. τεκμηριοῦν-
C ταί τε ἐκ τοῦ Βοιωτιακοῦ, ἐπεὶ οὐδέποτε παρ' αὐτοῖς νοί διὰ τοῦ οῑ. οὐκ ἐπεὶ δὲ παρ' Ἀττικοῖς ἐστὶ νωΐτερος καὶ σφωΐτερος, εὐθέως καὶ κατὰ εὐθεῖαν τὸ ῑ προσγεγράψεται· ἀπὸ γὰρ γενικῶν αἱ κτητικαί, αἵτινες σὺν τῷ ι γράφονται. Ἀλλ' ἐκ τῶν ἐναντίων ἀπὸ τῆς νῶϊ τὸ Ἀττικόν. Εἰ μὲν οὖν κατὰ τὴν πρόσληψιν τοῦ ῑ, καθὸ Καδμῆδες καὶ Νηρῆδες, πάλιν ἡ γραφὴ τὸ ῑ ἕξει, ὅ τε τόνος περισπασθήσεται,

οὐδενὸς ἐμποδίου ὄντος· εἰ δὲ ἀπεκόπη, τὸ
Α μὲν ῑ οὐχ ἕξει, τὸν δὲ τόνον περισπάσει, καθὸ καὶ ἀπὸ τοῦ δῶμα δῶ καὶ ἀπὸ τοῦ ἧλος ἦλ. Ἀπ' οὐδετέρας οὖν τοῦ λόγου καθισταμένου, θεματικὰς ἀμφοτέρας εἰσηγήσαντο, εἴγε ἡ χρῆσις παρὰ τῷ ἀρχαιοτάτῳ ποιητῇ ἀμφοτέρων ἐστί· καὶ παρὰ μὲν τοῖς μετοίκοις Ἴωσι τὴν δισύλλαβον ἐμμεῖναι, παρὰ δὲ τοῖς καταμείνασιν Ἀττικοῖς τὴν μονοσύλλαβον. Εἰ δὲ δέον ἐστὶν ἀπὸ τῆς κοινῆς τὴν Ἀττικὴν καθίστασθαι, καθὸ καὶ αἱ ἄλλαι ἔχονται ἀφορ-
Β μῆς τῶν κοινῶν, λεκτέον ὡς ἡ νώ καὶ σφώ ἀποκοπεῖσαι οὐκ ἀήθως τοῖς Ἀττικοῖς — Ποσειδῶ γάρ φασι καὶ μὰ τὸν Ἀπόλλω τουτονί — οὐκέτι περισπάσθησαν, καταληξιν δυϊκὴν ἀναδεξάμεναι. ἄλλως τε τὰ εἰς ω̄ λήγοντα πτωτικά, κλίσεως τυγχάνοντα, οὔποτε περισπασμὸν ἀνεδέξατο. τούτῳ γὰρ τῷ λόγῳ καὶ ἡ νεὼ γενικὴ ὠξυτονήθη, μετὰ καὶ ἄλλων λόγων τῆς γενικῆς τὸν περισπασμὸν ἀπαιτούσης· καὶ τὸ
C

Λητὼ γὰρ ἥλκησε

καὶ τὸ

Πυθώδ' ἐρχομένην

καὶ τὰ τούτοις παραπλήσια, καὶν τὸ ἐντελὲς ἔχωσι Λητόα καὶ Πυθόα, ἀναγκαίως ὠξύνθη. ἕνεκα γὰρ τούτου καὶ διστάσαι τὸν Ἀρίσταρχόν φασι περὶ τοῦ,

νὼ διᾶν ἔμεινε,

καθὸ

Α καθὸ ἦν τὸ ἐντελὲς νόα. Αἱ ἀποκοπαί, ἐὰν τύχωσι πτωτικῆς καταλήξεως, κλίνονται, μάκαρ, μάρτυρ,

γηράντεσσι τοκεῦσιν·

κλιθήσονται οὖν αἱ προκείμεναι ἀντωνυμίαι δυϊκῆς μᾶλλον καταλήξεως τυχοῦσαι. αἵ τε γενικαὶ αὐτῶν εὐλόγως διὰ τοῦ ῑ γράφονται, εἴγε παντὸς δυϊκοῦ εὐθεῖα μὲν ἓν ἔχει φωνῆεν, γενικὴ δὲ δύο, ὧν τὸ δεύτερον ῑ· ἀλλὰ καὶ περισπασθήσονται, εἴγε τὰ ὀξύτονα τῶν δυϊ-
Β κῶν περισπᾶται κατὰ γενικήν.

Διὰ τοῦ ε̄ ἡ ΝΩΪΕ παρὰ Ἀντιμάχῳ ενθηβεσιν

ἔδρακε νῶε μολοῦσα·

καὶ τουτε νῶε ἐν Ἰολάῳ Κόρινna.

ΣΦΩΪΕ. Αὕτη αἰτιατικὴν μόνην σημαίνει,

τίς τάρ σφωε θεῶν.

καὶ ἐπεὶ σύνηθες Ὁμήρῳ τὸ δισυλλαβεῖν, σαφὲς ὅτι καὶ τὸ

ἦ τίς σφωε πόρεν θεός ἀντιβολήσας

C οὐ τοῦ ἔπορε τὸ ε̄ ἔχει, τῆς δὲ ἀντωνυμίας, Ἰακῶς κεκλιμένου τοῦ ῥήματος. Καὶ ἔτι

εἰ μή σφω Αἴαντε·

τὸ πλῆρες σφώ. παρὰ γὰρ Ἀντιμάχῳ καὶ μονοσυλλάβως ἐν τρίτῃ Θηβαΐδος

τῷ καί σφω γείνατο μήτηρ,

καὶ ἐν πρώτῃ

ἀσπασιώς τέ σφω ἄγεν οἴκαδε.

Βίαιος ὁ Ἰξίων ἐστὶ τὴν σφώ καὶ ἐπὶ Α
δευτέρου τάσσων,

ἀμφοτέρω γὰρ σφῶε φιλεῖ,

ἐπεὶ καὶ ἡ νῶε διὰ τοῦ ε̄. καὶ ἔτι ὡς τῇ σφώ ἐπὶ τρίτου νοουμένη τὸ ε̄ προσέρχεται, οὕτω καὶ τῇ κατὰ τὸ δεύτερον πάλιν νοουμένη Ἀττικῇ προσέρχεται. Ἀλλ' οὔτε ἡ διὰ τοῦ ε̄ νῶε εὐπαράδεκτος, καθότι σπανιωτάτη, ἅπαξ που ἡ δὶς εἰρημένη· οὔτε ἡ κατὰ τὸ τρίτον μονοσύλλαβος, κατὰ τὸν αὐτὸν λόγον. πρὸς οἷς οὐδὲ ὁ χρησάμενος ἀξιοπιστότερος τῶν μὴ Β
χρησαμένων. πάνυ δὲ εὔηθες, τῆς κατὰ τὸ πρῶτον πρόσωπον εἰς ῑ̄ ληγούσης, μὴ οὐχὶ καὶ τὴν κατὰ τὸ δεύτερον παραδέχεσθαι. πρὸς οἷς καὶ πάλιν πάμπολλος ἡ χρῆσις. ποία δὲ καὶ ἀνάγκη, ὀρθῶς ἐχούσης τῆς σφῶϊ, τὴν σφῶε παραλαμβάνειν; Τρύφων συγκατατιθέμενος τῷ Ἰξίωνί φησι τὴν σφέ ἀντωνυμίαν κατ' ἐπένθεσιν τοῦ ω̄ δυϊκὴν γενέσθαι τῆς αὐτῆς πτώσεως, καὶ ἔτι τὴν σφίν, ὡς τοῦ ω̄ πτωτικοῦ ὄντος δυϊκῶν. Πῶς οὖν C
οὐχὶ καὶ αἱ κατὰ τὸ πρῶτον καὶ αἱ κατὰ τὸ δεύτερον τὸν αὐτὸν τρόπον ἐσχηματίσθησαν; Ἡ σφίν καὶ ἀποβάλλει τὸ ν̄, ἡ δὲ σφῶϊν οὐδέποτε. ἡ σφίν δοτικῆς, ἡ δὲ γενικῆς καὶ δοτικῆς. τί δὲ οὐχὶ καὶ ἐπὶ τῶν δισυλλάβων ἡ ἐπένθεσις τοῦ ω, λέγω δὲ τῆς σφέας καὶ σφίσιν; Ὁμοίως οὖν ταῖς τοῦ πρώτου καὶ δευτέρου θέματά τινες ἠξίουν εἶναι, καὶ ἐκδόσεις

Α τινας παρατιθέμενοι τὸ τάρ σφωϊ σὺν τῷ ῑ̄
γράφειν, ἐπεὶ καὶ ἡ σφῶϊν, δευτέρου οὖσα προσώπου, κατὰ τόνου ἐναλλαγὴν τὸ τρίτον ἀποτελεῖ ἐν τῷ

καί σφωϊν δὸς ἄγειν.

Ἀλλὰ μήποτε τὸ μαρτύριον παράλογον· ποία γὰρ καὶ ἄλλη ἀντωνυμία τόνου ἐναλλαγῇ προσώπου γίνεται μεταβατική; Ἀλλ' ἴσως ἐκεῖνος ὁ λόγος ἰσχυρός, ὡς αἱ φθάσασαι κατὰ τὸ πρῶτον καὶ τὸ δεύτερον ὁμοιοκαταλη-
Β κτῆσαι, πάντως καὶ κατὰ τὸ τρίτον· ὅθεν ἡ νῶϊ καὶ σφῶϊ καὶ ἐπ' αἰτιατικῆς πάντως κατὰ τὸ τρίτον. Ἀλλ' αἱ ὁμοιοκατάληκτοι οὐ πάντως τοῖς αὐτοῖς στοιχείοις χρῶνται· οὐκ ἄλογος οὖν ἡ κατὰ τὸ ε̄ ἐναλλαγή. ἄλλως τε αἱ ὁμοιοκατάληκτοι καὶ ἰσόπτωτοι, ἡ δὲ σφώ αἰτιατικῆς μόνης, τῆς κατὰ τὸ πρῶτον καὶ δεύτερον καὶ εὐθεῖαν σημαινούσης. οὐ γὰρ ὑγιὲς τὸ λέγειν ὡς ἀκόλουθος τῇ νῶε, ὅτε οὐδὲ Ὅμηρος ἐχρήσατο· πρὸς οἷς δοθήσεται ἡ
C διὰ τοῦ ῑ̄ γραφὴ ἀκόλουθος τῇ νῶϊ. ἀλλὰ μὴν οὐδὲ ἡ

καί σφωϊν δὸς ἄγειν

παράλογος· θέμα γὰρ ἴδιόν ἐστιν ὀξύτονον, οὐχὶ ἔγκλιμα τῆς σφῶϊν. ποῖον γὰρ ἄλλο μόριον βαρυνόμενον δύναται ἐγκλίνεσθαι; διὰ τοῦτο καὶ τὸ σφώ κατ' ἰδίαν λεγόμενον ὀξύνεται. εἴρηται μὲν ὡς ἀδύνατον ἔγκλιμα μεταβατὶν προσώπου σημαίνειν. Ἴσως τις φήσει,

ἰδοὺ ἡ ἡμέων βαρυτονουμένη ἐγκλιτική ἐστι. A
Πρῶτον οὐ φύσει βαρύνεται, διήρηται δὲ ἐκ περισπωμένου· διόπερ ἀκωλύτως τὴν ἔγκλισιν ἀνεδέξατο. ἔπειτα τὰ ἐγκλιτικὰ λεγόμενα τὴν τῆς ὑπερκειμένης λέξεως ὀξεῖαν ἐγείρει.

Εἰ αἱ διὰ τοῦ σφ, φασίν, ἐκφερόμεναι ἀντωνυμίαι τρίτου καθεστᾶσιν, ὥςπερ ἅπασαι αἱ πληθυντικαὶ καὶ πᾶσαι αἱ δυϊκαί, δῆλον ὡς αἱ κατὰ τὸ δεύτερον ἀπὸ τρίτου μετατιθέμεναί εἰσι. κἀκεῖνο δὲ προστίθενται, ὡς αἱ ἐγκλινόμεναι καὶ ὀρθοτονοῦνται· ἐγκλινομένης B
οὖν τῆς σφωΐν ἦν τὸ ὀρθοτονούμενον σφῶϊν, ὅπερ ἐπὶ δευτέρου μετελήφθη. Οὐ δεῖ μέντοι τῆς χρήσεως τὸ δινεκὲς βιάζεσθαι. ἔπειτα δὲ ἡ αἰτία τοῦ μόνως ὀρθοτονεῖν οὐ μόνον τὰ τοῦ δευτέρου, ἀλλὰ καὶ τὰ τοῦ πρώτου, εἴρηται. πρὸς οἷς καὶ τὰ τῆς γραφῆς ἀντιπίπτει· ἰδοὺ γὰρ τὸ τρίτον σφωέ, τὸ δεύτερον διὰ τοῦ ι. τὸ δὲ μεῖζον· τὰ δεύτερα ὀρθοτονούμενα δίπτωτά ἐστι, τὰ δὲ τρίτα οὐκέτι ἐγκλινόμενα, τῶν ἐγκλινομένων τὰς αὐτὰς πτώσεις ἀναδε- C
χομένων. χωρὶς εἰ μὴ καὶ γενικὴν σημαίνοι ἡ σφῶϊν ἐν τῷ

ἀλλ' εἶπ' εἰ σφωϊν καταλύσομεν,

περὶ ἧς ἄξιον ἐπιστῆσαι ὡς ἐπὶ πλειόνων εὑρίσκεται γενικὴν σημαίνουσα, καθὸ ἐπὶ τοῦ

πρίν σφωϊν ὑπὸ κροτάφοισιν ἰούλους

καὶ

γυιώσω μέν σφωϊν.

A καὶ δῆλον ὅτι δοτικαί εἰσι καὶ εἰς γενικὴν μεταλαμβάνονται, ὡς ἐν σχήματος ἕθει, ὁμοίως τῷ

Ἀχιλῆϊ δαμασθείς

καὶ

Τρωσὶ δαμείς.

Καὶ δῆλον ὅτι ἡ κτητικὴ δυϊκὴ κατὰ τὸ τοῦ κτήτορος πρόσωπον ἀφορμὴν δέδωκε τοῦ τὴν γενικὴν τοῦ τρίτου σεσιγῆσθαι. εἰ γὰρ ἀπὸ γενικῆς τῆς νῶϊν νωΐτερος καὶ σφῶϊν σφωΐτερος,
B δῆλον ὡς καὶ ἀπὸ τῆς τοῦ τρίτου γενικῆς ἐγίνετο δυϊκόν· ὅπερ οὐκ ἔστιν. ἔνθεν οὖν τὸ πρωτότυπον τρίτον ἀπαράδεκτον. Ἀλλὰ πρός γε τοῦτο ῥητέον, ὡς οὐχ ἡ τῶν παραγώγων ὑποστολὴ αἰτία γενήσεται τοῦ μηδὲ τὰ πρωτότυπα ὑπάρχειν. ἔστι γὰρ μυρία, ἅπερ οὐ παρῆκται, τοῦ λόγου ἀπαιτοῦντος, ὥςπερ καί τινα συνεξειλκυσμένα τισὶ παραγωγαῖς, τοῦ λόγου οὐκ ἐπιτρέποντος. ἐπεὶ καὶ ἡ τοῦ κτητικοῦ ἔλλειψις εὔλογος, εἴγε πᾶσα παράγω-
C γος ἀντωνυμία ἀπὸ ὀρθοτονουμένης πρωτοτύπου σχηματίζεται, ὡς ἐν τοῖς πρὶν εἴρηται, ἡ δὲ μόνως ἐγκλίνεται.

Παντί τῳ δῆλον, ὡς ἡ δυϊκὴ τοῦ ἐκεῖνος, οὗτος ἘΚΕΙΝΩ, ΤΟΥΤΩ. περὶ γὰρ τοῦ

τώδε δὲ νῶϊ

ἐζητεῖτο. ἕνεκα γάρ φασι τῆς ἐνικῆς δοτικῆς ὀξυτονηθήσεται τὸ τώ, ἵνα τὸ δυϊκὸν διαστολῆς τύχῃ. Ἀλλ' εἰ ἕνεκα τούτου, ληρῶδες·

ἄπειρα γὰρ τὰ συνεμπίπτοντα. Ἔτι βαρείας
A καὶ βραχείας ἐπιφερομένης ἀδύνατον ὀξεῖαν εὑ-
ρέσθαι μετὰ μακρᾶς· διὸ τὸ τώδε προπερι-
σπαστέον. Τί οὖν τὸ εἶθε, αἴθε, ναίχι; οὐχὶ
καθὸ ἐπέκτασις τῆς ἀρτίου ὑπερεχούσης τὴν
επι εκφερομένην. οὐχὶ οὖν καὶ τὸ

τώδε δὲ νῶϊ

τῶν ἐπεκτεταμένων; τὰ οὖν δυϊκὰ εἰς ω̄ λή-
γοντα οὐδέποτε περισπᾶται· οὐδὲ γὰρ θέλει
τὸ πτωτικὸν ω̄ περισπᾶσθαι ἐπὶ τέλους. ὅτι
γὰρ ἐπὶ τέλους ἐστίν, ὅτι ἐπεκτέταται, δῆλον
B ὡς ἡ κλίσις ἐντός, τοῦδε, τοῖνδε, οἵδε,
τῶνδε, τοῖςδε, τούςδε.

Αἱ πληθυντικαὶ καὶ κοινολεκτοῦνται κα-
τ' εὐθεῖαν πρός τε Ἰώνων καὶ Ἀττικῶν,
ἩΜΕΙΣ, ὙΜΕΙΣ, ΣΦΕΙΣ. ἔστι πιστώσασθαι
καὶ τὸ ἀδιαίρετον τῆς εὐθείας παρ' Ἴωσιν ἐκ
τῶν περὶ Δημόκριτον, Φερεκύδην, Ἑκαταῖον.
τὸ γὰρ ἐν Εἰδωλοφανεῖ ὙΜΕΈΣ Αἰόλιον. περι-
χευετε παρὰ Παρθενίῳ ὑπὸ ποιητικῆς ἀδείας
παραληφθὲν οὐ καταψεύσεται διαλέκτου πι-
C στουμένης ἐλλογίμοις συγγραφεῦσιν. ἝΑΜΕΣ
Δώριον. Ἀλκμάν·

ὡς ἀμὲς τὸ καλὸν μελίσκον.

Οὐκ ἐπίληπτος δὲ ἡ τάσις, καθὸ τὰ πτωτι-
κὰ ἀπέστραπται τὴν εἰς τὸ ης ὀξεῖαν· καὶ διὰ
τοῦτο ἔνιοι τὸ βιόπλανες βαρύνουσιν ἀπὸ τοῦ
βιοπλανής, καὶ ἐπίτηδες, καὶ ἄκλεες ὡσαύ-
τως ἀπὸ τοῦ ἀκλεής. Πρῶτον αἱ πρωτότυποι

A ἀντωνυμίαι οὐκ ἀκόλουθοι ἐδείχθησαν τοῖς
ἄλλοις πτωτικοῖς. ἔπειτα Δωριεῖς ἐπὶ τὸ τέλος
φιλοῦσι τὴν ὀξεῖαν προσάγειν, παρ' οἷς πά-
λιν ἡ ἀφαίρεσις τοῦ ῑ ὀξείας γίνεται ἐμποιη-
τική, ἐπεὶ ποιεῖς - ποιές, πάλιν τῆς κατα-
λήξεως ἐπιλήπτως ὀξυνομένης, εἴγε τὰ ῥήμα-
τα τὴν ὀξεῖαν τάσιν ἀπέστραπται· καὶ τὸ
νοέν καὶ τὸ δασμηφορέν ὀξύνεται πάλιν τῇ
αὐτῇ ὑφαιρέσει τοῦ ῑ. πρὸς οἷς καὶ ἡ περι-
σπωμένη συστελλομένη ὀξεῖα γίνεται, τύπου
B τινὸς μὴ ἐμποδίζοντος. Αἰολεῖς ἌΜΜΕΣ·

ἄμμες δ' ἂν τὸ μέσον.

τοιοῦτον καὶ τὸ

ἄμμες εἰσκομεν.

Τοῦ δευτέρου ὙΜΕΙΣ. Δωριεῖς ὙΜΕΣ·

ὑμὲς δὲ ἐπεγγυάμενοι θωκεῖτε, Σώφρων.

Αἰολεῖς ὝΜΜΕΣ·

οὔ τί μοι ὔμμες·

ἃς θέλετ' ὔμμες,

ἐν δευτέρῳ Σαπφώ. Βοιωτοὶ μετὰ διφθόγγου
C τοῦ οῡ·

οὐμὲς δὲ κομισθέντες

Κόρινναν ἔπτ' ἐπὶ Θήβαις.

Αἱ ὑποστολαὶ τοῦ ι ὁμολογοῦσι τὴν διὰ
τοῦ εῑ γραφήν· παραπεμπτέον οὖν τοὺς διὰ
τοῦ ῑ ἠξιωκότας γράφειν, ὡς τοῦ ῑ εἰς τὸ ῆ
μεταβαλλομένου, κέρνημι, πέρημι. ἐπὶ γὰρ
βραχυνομένου ἡ μετάληψις. Ἔτι εἰ πᾶσαί
φασι δι' ἑνός, καὶ ἡ εὐθεῖα ἓν ἕξει φωνῆεν.

Ἀλλὰ καὶ ἡ σοφῶν ἓν ἔχει φωνῆεν, αἱ δὲ Α
ὑπόλοιποι δύο. εἰ δὲ οὐ διαιρεῖται εἰς δύο ε̄,
καθότι αἱ εἰς εῑς εὐθεῖαι τοῦτο ἀναδέχονται,
φαίνονται τὴν ἐν ὀνόμασιν ἀκολουθίαν ζητοῦν-
τες ἐν ἀντωνυμίαις, ἥνπερ οὐχ εὕρομεν. πολ-
λῷ δὲ πρότερον καὶ τὴν εἰς σ̄ γενικὴν ἑνικήν·
αὕτη γὰρ τῶν διὰ δύο ε̄ ἐκφερομένων εὐθειῶν
γενική ἐστιν.

Οὐδ' ὑγιὲς διὰ τὸν μακρὸν χρόνον τῆς
εὐθείας δύο φωνήεντα παραδέχεσθαι, ὥς τι-
νες ᾠήθησαν. ἐπεὶ τί ἂν εἴη τὸ ἰχθῦς ἢ νέκυς Β
καὶ τὰ τούτοις ὅμοια συναιρούμενα, αἵ τε
παρ' Ἴωσι γραφαί, πόλις, φύσις; Πάλιν δὲ
καὶ τὴν δοτικὴν γράφειν διὰ τοῦ ε̄, ἐπεί φασι
καὶ ἡ εὐθεῖα καὶ ἡ γενική· ἡμέων γάρ· καὶ
ἡ αἰτιατική, ἡμέας. Ἀλλ' ἡ μὲν γενικὴ καὶ
αἰτιατικὴ διήρηνται, ἡ δὲ ἀδιαίρετος τυγχάνει,
πιστουμένη παραδόσει καὶ διαλέκτων ἐκφορᾷ·
ΑΜΕ͂Ν γὰρ Δωριεῖς, καὶ ΑΜΜΙΝ Αἰολεῖς. ἄλ-
λως τε οὐδὲ τὸ νύμφαις ἔχει τὸ ε, τοῦ νυμ-
φέων ἐν διαιρέσει ἔχοντος τὸ ε̄. C

Ἡ ΣΦΕΙ͂Σ οὔτε παρ' Αἰολεῦσιν οὔτε πα-
ρὰ Δωριεῦσιν ἀκολουθίαν ἔσχε πρὸς τὰ τού-
των πρῶτα καὶ δεύτερα, οὐκ ἀπεικότως· καὶ
γὰρ ἡ ἐμεί καὶ τεί, παρὰ τοῖς Δωριεῦσι προς-
λαβοῦσαι τὸ ῑ, οὐκέτι κατὰ τὸ τρίτον προς-
έλαβον.

Ἡ ΗΜΈΩΝ τρισυλλαβοῦσα παρ' Ἴωσιν
ὑπεμφαίνει ἀκολουθίαν, καθὸ αἱ εἰς εῑς λή-

Α γουσαι εὐθεῖαι τὸν τρόπον τοῦτον κλίνονται·
ταχέων γὰρ καὶ βασιλέων. ὡς τὴν ἀμές
Δωρικὴν καὶ ἔτι τὴν ἄμμες Αἰολικὴν ὁμοίως
ταῖς εἰς ε̄ς ληγούσαις εὐθείαις ἰσοσύλλαβον
ἔχειν γενικήν· ἀμῶν γὰρ καὶ ἄμμων. Ἀλ-
λ' εἴπερ μὴ ἦν διηρημένη, οὐκ ἂν παρὰ μό-
νοις Ἴωσιν εὑρίσκετο, διαιρετικωτάτοις οὖσι.
πρὸς οἷς ἐδείχθη, ὡς ἀνακόλουθοι ἕνεκα φω-
νῆς αἱ ἀντωνυμίαι. ἐχρῆν γὰρ καὶ τὴν εὐ-
θεῖαν ἑνικὴν λόγου ἔχεσθαι, καὶ τὴν γενικὴν
Β εἰς ο̄ς περατοῦσθαι, ὡς ταχέος καὶ βασιλέως.
οὐδέποτε τὸ ῑ προσλαμβάνουσιν ἥ τε ταχέων
καὶ αἱ παραπλήσιοι· εἴπερ οὖν ἀκόλουθος,
οὐκ ἂν ἐγίνετο ἡμείων.

Ἡ ΑΜΩ͂Ν παρὰ Δωριεῦσι καὶ σύναρθρον
γενικὴν σημαίνει ἀκόλουθον τῇ ἀμός· τῇ μέν-
τοι διαιρέσει ἡ πρωτότυπος διαλλάσσει τῆς
κτητικῆς, οὐκέτι τὸ αὐτὸ ἀναδεχομένης. Ἀλ-
κμάν·

ὅσαι δὲ παῖδες ἀμέων
C ἐντί, τὸν κιθαριστὰν αἰνέοντι.

Ὁμοίως Αἰολεῖς. Ἀλκαῖος·

μηδ' ὀνιαισ τοι σπλεας υμεων παρεχειν.

ἐπὶ δὲ τῆς συνάρθρου

πατέρων ἄμμων

καὶ τῇ ἐντελεστέρᾳ

ἀμμετέρων ἀχέων.

Ὁμοίως Βοιωτοί, ΑΜΊΩΝ, ἐπὶ δὲ τῆς κτητι-
κῆς ΑΜΩ͂Ν, ἀμῶν δόμων.

ΥΜΩ͂Ν. Αὕτη κοινὴ καὶ Δωριέων, σημαίνουσά τε πάλιν καὶ κτητικὴν τὴν ἀπὸ τῆς A
ὑμός εὐθείας. πάλιν δὲ ἐν διαιρέσει διαφέρει ἡ πρωτότυπος. ὑμέων γὰρ ἀπρὶξ ἔχονται, Σώφρων. καὶ Ἴωνες·

ὑμέων δ' ἀνδρὶ ἑκάστῳ.

ἔτι αἱ πρωτότυποι διοίσουσι τῷ ἐγκλίνεσθαι καὶ ὀρθοτονεῖσθαι, τῶν κτητικῶν αὐτὸ μόνον ὀρθοτονουμένων. Τὸ δὲ

ὥδέ τις ὑμείων μεμνημένος
πλεονάζον ἀκόλουθον τῇ ἡμείων. Αἰολεῖς B
ΥΜΜΈΩΝ. Ἀλκαῖος·

οἵ τινες ἐσθλοὶ
ὑμμέων τε καὶ ἀμμέων.

ΟΥΜΊΩΝ· Βοιωτοί· τὸ δέ τις οὐμίων ἀκουσάτω, Κόριννα.

ΣΦΩ͂Ν. Καὶ ΣΦΈΩΝ ἀκολούθως τῇ ἡμέων,

τῷ σφέων πολέες κακὸν οἷτον ἐπέσπον.

καὶ

ὥσαν ἀπὸ σφείων, C

ὡς ὑμείων. Τῇ σφείων καὶ Αἰολεῖς χρῶνται καὶ Δωριεῖς, Δωριέων δὲ Συρακούσιοι διὰ τοῦ ψ πάσας τὰς διὰ τοῦ σφ, μονοσυλλαβούσας μὲν ἀναμφιλέκτως, ἐπὶ δὲ τῶν ὑπὲρ μίαν συλλαβὴν ἀμφίβολα τὰ τῶν γραφῶν· ἔνια γὰρ δίχα τοῦ ψ.

Ἐν ἴσῳ τῷ ΑΥΤΩ͂Ν παρὰ Συρακουσίοις τίθεται τὸ ΕΩΝ. Σώφρων· ὁ δ' ἐκ σκότεος

A τοξεύων αἰὲν ἕνα τινὰ ὧν ζυγαστροφεῖ.

Ὃν τρόπον τὸ νυμφέων διαιρεῖται, τὸν αὐτὸν τρόπον καὶ τὸ ΑΥΤΩ͂Ν, ὁπότε θηλυκὸν σημαίνει. καὶ ἔτι ΑΥΤΆΩΝ.

Δῆλος ἡ ἀπὸ τοῦ ἐκεῖνος καὶ τῶν ὁμοίων κλίσις.

ΗΜΙ͂Ν Ἴωνες, ᾗ καὶ Ἀττικοί. Τὸ ἐγκλινόμενον παρ' Ἴωσι συστέλλει τὸ ῑ· σημειῶδες, καθὸ αἱ ἐγκλινόμεναι τὸν αὐτὸν χρόνον φυ- B
λάττουσι ταῖς ὀρθοτονουμέναις. Ἡ ΑΜΙ͂Ν Δωρικὴ ἐγκλινομένη συστέλλει τὸ ῑ, ἐν οἷς προπερισπᾶται,

αἱ γὰρ ἄμιν τούτων μέλοι·
ὀξύνομέν τε
ἀμὶν δ' ὑπαυλήσει μέλος,

Ἀλκμάν. οἰκεῖος ὁ χρόνος πληθυντικῇ διὰ τοῦ ῑ ἐκφερομένῃ. Αἰολεῖς ΑΜΜΙ·

ἀλλά τις ἄμμι δαίμων.

τοιοῦτον ἦν καὶ τὸ

C ἄμμι δ' ἀρήγει.

ὁμόλογον ὅτι, κἂν ὀρθοτονῆται, μίαν καὶ τὴν αὐτὴν τάσιν ἔχει.

Ὁμολογουμένης δὲ τῆς διὰ τοῦ ῑ γραφῆς, πάλιν τινὲς ἐπιθανεύσαντο, εἰσηγούμενοι τὸ ῆ ἐγκεῖσθαι. καθάπερ γὰρ τῷ ταχεῖς παράκειται τὸ ταχέσιν, οὕτω καὶ τῷ ἡμεῖς τὸ ἡμέσιν. τό τε ἐν τετάρτῳ Ἀλκαίου

ἀμμέσιν πεδάορον

οὕτω φέρεσθαι ἀπὸ τοῦ ἡμέσιν. ἀπὸ δὴ τοῦ A
ἡμέσιν κατ' ἀφαίρεσιν τοῦ σ̄ καὶ συνέλευσιν
τοῦ ε̄ ἐγίνετο ἡμεῖν, εὐλόγως καὶ τοῦ χρόνου
μηκυνθέντος καὶ τοῦ τόνου περισπασθέντος,
εἴγε πᾶσα δοτικὴ πληθυντικὴ τεινομένη διὰ
δύο φωνηέντων ἐκφέρεται. Πρῶτον τὰ τῆς γρα-
φῆς διαφέρεται. ἔπειτα θεματικαὶ πᾶσαι
ἐδείχθησαν. πρὸς τῷ τὰς δοτικὰς ἐν πλεο-
νασμῷ ἔχειν τὸ ν̄, οὗ αἰρομένου ἀλύμαντα
τὰ τῆς προφορᾶς· ὅπερ τῷ ἡμῖν οὐ παρέπε-
ται. τὰ γὰρ παρ' Αἰολεῦσιν ἕνεκα τῆς συντά- B
ξεως πολλάκις ἀποβάλλει τὸ ν̄ δι' εὐφωνίαν,

ἄεισον ἄμμι τὰν ἰόκολπον·

αἰ δέ κ' ἄμμι Ζεὺς τελέσῃ νόημα,

Ἀλκαῖος καὶ ἐπ' ἄλλων μὲν εἰτε ἐπὶ τοῦ ὔμ-
μιν ἀθανάτοιο εοῖνικαν Ἀλκαῖος τρίτῳ καὶ
ἐπ' ἄλλων πλειόνων.

ΥΜΙΝ. Πάλιν παρ' Ἴωσι προπερισπᾶται
ἐγκλινομένη, καθὸ συστέλλει τὸ ῑ. καὶ ἔτι
παρὰ Δωριεῦσιν· ὅσαις ὔμιν αἰνέσω, Σώ-
φρων. καὶ ἐν ὀρθῇ τάσει· οὐ μάν τοι δί- C
φρον ἐπημμένον ὑμῖν. ΥΜΜΙΝ Αἰολεῖς·

ταῖς κάλαις ὔμμιν τὸ νόημα τῶμον
οὐ διάμειπτον.

ὁμοίως καὶ Αἰολικαί, ἀποβάλλουσαι τὸ ν̄ καὶ
φυλάσσουσαι, τὴν ἐν ὀνόμασι δοτικῆς πλη-
θυντικῆς σύνταξιν ἀναδέχονται.

Εἰ ὁμόχρονοι αἱ κατὰ τὸ πρῶτον καὶ δεύ-
τερον, σαφὲς ὅτι ἡ ΣΦΙΝ συστελλομένη ὁμο-

A λογεῖ ἀπ' Ἰακῆς ἐγκλίσεως, εἴγε, ὅτε ἐγκλί-
νουσιν οἱ Ἴωνες, συστέλλουσι τὸ ῑ, ἡ δὲ μό-
νως ἐστὶν ἐγκλιτική· ὑπὸ γὰρ Ἡσιόδου ἐν ἀρ-
χῇ τεθεῖσα εὐλόγως ὠρθοτονήθη ἐν τρίτῳ,

σφὶν δ' αὐτοῖς μέγα πῆμα.

ΣΦΙΣΙΝ. Αὕτη ἐπεκταθεῖσα καὶ ὀρθοῦ
τόνου ἔτυχεν. Ἀμφοτέραις μέντοι ἀκολουθεῖ τὸ
ν̄ ἀποβάλλειν δι' εὐφωνίαν,

ἀλλά σφι δόσαν,

ἔτι γάρ σφισι κῦδος ὀρέξω·

B φυλάσσεται δὲ ἐν τῷ

ὅς σφιν ἐὐφρονέων,

μετὰ σφίσιν εἶχον ἀτυζομένην.

Οὐχ ὑγιὲς δὲ πάλιν εἰσηγεῖσθαι τὴν σφί-
σιν ἀπό τῆς σφέσι, μεταθέσει τοῦ ε̄ εἰς τὸ ῑ,
Βοιωτικῶς ἢ Ἰακῶς· καὶ οὕτως ὁλόκληρος ἡ
σφίσιν, ἧς συγκοπὴ ἡ σφίν. Παρὰ Βοιωτοῖς
οὐ μετατίθεται, συμφώνου ἐπιφερομένου, τὸ ε̄
εἰς τὸ ῑ· ἀλλ' οὐδὲ παρ' Ἴωσιν, ὅτε μὴ ἀπ'
εὐθείας εἴη τῆς διὰ τοῦ ῑ. ἐν οἷς οὖν αἱ κα-
C τὰ τὸ τρίτον μιᾷ συλλαβῇ ἐνδέουσι τῶν κα-
τὰ τὸ δεύτερον, ἡ σφίσιν ἀπὸ τῆς σφίν ἐπεκ-
τέταται, καὶ καθὸ αἱ τοῦ τρίτου ἀνεπέκτα-
τοι μονοσύλλαβοι.

Αἱ τοῦ τρίτου κτητικαί, ἔνιαι κατὰ τὸ
ἐντὸς πρόσωπον, διὰ τοῦ σφ̄ πλήθους παρα-
στατικαὶ γίνονται κατὰ τὸν κτήτορα παρὰ
Δωριεῦσιν, ὅς - σφός· ἴσον γὰρ τῷ σφέτερος·
ὅν - σφόν· καὶ ἐπὶ τῶν λοιπῶν ταὐτόν. καὶ

ἐπὶ πρωτοτύπων οὖν ταὐτόν· ἰδοὺ γὰρ ἕ καὶ A
σφέ. εἰ τοῦτο, καὶ τὸ σφίν ἀπὸ ἑνικοῦ τοῦ
ἵν, Δωρικῶς. Παραπεμπτέον δὲ τὸν λόγον,
εὐδιάσειστον ὄντα, ἐν οἷς καὶ ὁλόκληρον τὴν
σφέ παραδεξόμεθα καὶ αὐτὴν δὲ τὴν σφίν.
πῶς δὲ οὐχὶ καὶ τὸ κοινολεκτούμενον ζητήσει
τις; οὐκ ἐξομαλίζεται δὲ τὸ τῆς εὐθείας καὶ
γενικῆς· ἀπὸ γὰρ τῆς ἵ καὶ οὗ οὐκ εἰσὶν ἀκό-
λουθοι πληθυντικαί. ἐπηυξήθη οὖν ἀπὸ μο-
νοσυλλάβου τῆς σφίν ἡ σφίσιν, οὐχ ὁμοίως
τοῖς ὀνόμασιν· οὐδὲ γὰρ ταὐτὰ παρακολου- B
θεῖ, ἃ καὶ τοῖς ὀνόμασι. ταχέος γὰρ καὶ
ταχέες, ἀφ' οὗ καὶ τὸ ταχέεσσιν, ἅπερ οὐκ
ἐπὶ τῆς σφείς.

Συρακούσιοι ΨΙΝ· αμανι ψιν γενο-
μενα, Σώφρων. Ἡ διὰ τοῦ ψ γραφὴ ἐπὶ
πλήθους τασσομένη οἰκειοτέρα τῆς διὰ τοῦ σφ.

Καὶ συὶ τῷ ᾱ λέγεται παρ' Αἰολεῦσιν·

ὅτα πάννυχος ἄσφι καταγρεῖ,

Σαπφώ.

Ἧμᾶς. Ταύτης ὁλοκληροτέραν φασὶ τὴν C
παρὰ τοῖς Ἴωσι διηρημένην, λέγω δὲ τὴν
ἡμέας. ὃν γὰρ τρόπον παρὰ τὸ ταχεῖς τα-
χέας, οὕτως ἡμεῖς ἡμέας, καὶ Ἀττικῶς ἡμᾶς,
ὡς Εὐβοέας Εὐβοᾶς. Ἀλλ' οὔτε ἡ ἡμεῖς ὁμοία
τῇ ταχεῖς, ὡς ἀπεδείχθη, οὔτε Ἀττικοὶ τὸ ε
καὶ τὸ ᾱ συναιροῦσιν, ὅτε μὴ καθαρεύοι τὸ ε,
ὡς ἐπὶ τοῦ ἱέασιν - ἰᾶσιν· οὐ γὰρ ἔτι ἐπὶ τοῦ
τιθέασι. καὶ Εὐβοᾶς φασίν, ἀλλ' οὐκέτι ταχᾶς.

A Τὸ

μηδ' ἥμας ὑπεκφύγοι

Ἰώνων ἔθει φασὶ συνεστάλθαι κατὰ τὴν ἀπόλυτον σημασίαν.

Ἄμε Δωριεῖς· ἁ δ' ἀρ' ἀμὲ λωβῆτο,
Σώφρων Γυναικείοις. Ἄμμε Αἰολεῖς·

ὀπτᾶς ἄμμε,

Σαπφὼ πρώτῳ. τινὲς δὲ ἀποκεκόφθαι φασὶν
ἀπὸ τοῦ ἀμμέας καὶ ἀμέας, ἐπεὶ οἰκεία αἰ-
τιατικαῖς ἡ εἰς ᾱς κατάληξις.

B Ὑμᾶς. Καὶ Ὑμέας, ἀκολούθως τῇ
ἡμέας. Δωριεῖς Ὑμέ· ἐμὲ δ' Ἀρχωνίδας
ἄλλε παρ' ὑμέ, Ἀνδρείοις Σώφρων. Υ̓́μμε
Αἰολεῖς·

τὸ γὰρ θεῶν ἰότητ' ὔμμε λαχόντων γέ-
ρας ἄφθιτον

ἀνθήσει,

Ἀλκαῖος πρώτῳ.

Ἡ ΣΦΑΣ ἔσθ' ὅτε συστέλλει τὸ ᾱ κατ' ἔγκλισιν, συζύγως τῇ

C μηδ' ἥμας,

ἐν τῷ

μέγα δέ σφας ἀποσφήλειε πόνοιο.

Τὴν μὲν οὖν κτητικήν, συζυγοῦσαν τῇ ἁμάς Δωρικῇ,

σαωσέμεναι νέας ἁμάς

ἀντὶ τοῦ ἡμετέρας, προσῆκον ὀξύνειν,

σφὰς γὰρ παρθέμενοι κεφαλάς

τὴν δὲ πρωτότυπον περισπᾶν ὁμοίως τῇ ἡμᾶς A
καὶ ὑμᾶς· ἀφ' ἧς Ἰακὴ διαίρεσις ἡ

σφέας αὐτοὺς ἀρτύναντες·

σαφές ἐστιν ὡς ἐγκλιθεῖσα ἐν τῷ

οὐ μέν σφας ἔτ' ἔολπα

περιεγράφετο τῆς περισπωμένης.

ΣΦΕ. Εἴρηται ὡς μόνως ἐγκλιτική ἐστι, συζυγεῖ μέντοι Δωρικῇ τῇ ἀμέ καὶ ὑμέ. Πάλιν δὲ καὶ ταύτην ἀπὸ τῆς σφέας φασὶν ἀποκεκόφθαι. ΨΕ. Συρακούσιοι. Σώφρων· πῶς ψε καὶ γινώσκωμεν; ΑΣΦΕ Αἰολεῖς· B

ὅτ' ἄσφ' ἀπολλυμένους σάως,

Ἀλκαῖος δευτέρῳ.

Ἐχομένως καὶ ὑπὲρ τῶν κτητικῶν ῥητέον, ὧν καὶ διαφορὰς ἐξεθέμεθα ὡς πρὸς τὰς πρωτοτύπους ἐν τοῖς κατ' ἀρχήν. Αἱ ΚΤΗΤΙΚΑΙ τῶν ἀντωνυμιῶν εἰς γενικὴν ἐγκλινομένην ἀναλύονται μετὰ τοῦ ὑπακουομένου κτήματος, καθ' οἱανδήποτε ἂν ὦσι πτῶσιν, ἐμὸς οἶκος - οἶκός μου, ἐμῷ δούλῳ - δούλῳ μου,

ἵνα νωϊτέρην ὄπ' ἀκούσης, C

ἵνα ἡμῶν τῆς φωνῆς ἐπακούσῃς· καὶ ἐπὶ τῶν λοιπῶν τὸ αὐτό. Παντὶ κτητικῷ τὸ ὑπακουόμενον κτῆμα ὁμοιόσχημόν ἐστιν, Ἑκτόρειοι δοῦλοι, Ἀριστάρχειοι δοῦλοι, ἡμέτεροι δοῦλοι, δοῦλοι ἐμοί· γενικῇ μέντοι κτῆσιν δηλούσῃ πάλιν τὸ ὑπακουόμενον κτῆμα ἀδιάφορον, αὐτοῦ δοῦλοι ἢ δοῦλαι ἢ οἶκος ἢ ὁτιδηποτοῦν κτῆμα. διὸ καὶ τὰ κτητικῶς

A κῶς ὑπακουόμενα ἐὰν μὴ ὁμοειδῆ τυγχάνῃ, οὔτε κτητικὴ ἀντωνυμία παραλαμβάνεται οὔτε κτητικόν ὄνομα, γενικὴ δέ. σαφὲς δ' ἐκ τοῦ

Θαύμαζε δ' Ὀδυσεὺς λιμένας καὶ νῆας εἰσας,

αὐτῶν θ' ἡρώων ἀγοράς·

ἡ γὰρ ἀνομοιοείδεια γενικὴν ἀπήτησε τὴν αὐτῶν. Μὴ ὑπολαβέτω δέ τις, ὡς αἱ κτητικαὶ τὸ γένος παρεμφαίνουσι μόνον τοῦ κτήματος, τοῦ δὲ κτήτορος οὐκέτι. ὡς ἐπὶ τοῦ ἐμός, ἡμέ-
B τερος· ἀρσενικὰ γὰρ τὰ κτήματα, τὰ δὲ τοῦ κτήτορος ἄδηλα ἐν γένει· καὶ γὰρ ἐπ' ἄρσενος τὸ ἐμός καὶ ἐπὶ θήλεος. Λέληθε γὰρ ὡς μᾶλλον ὥρισται τὸ τοῦ κτήτορος πρόσωπον διὰ τῆς δείξεως καὶ ἀναφορᾶς. καὶ δείξεως μὲν ἐμός, σός, ἀναφορᾶς δὲ ὡς σφέτερος, τῶν κτημάτων ἀδήλων ὄντων κατὰ τὴν ποιότητα. τῷ γὰρ ἐμός τί μᾶλλον ὑπακούεται οἶκος ἢ ἵππος ἢ δοῦλος ἢ τι τῶν τοιούτων;

Αἱ κτητικαὶ ἀπὸ γενικῶν μόνων σχηματι-
C ζόμεναι, κτῆσιν σημαινουσῶν, καὶ εἰς γενικήν, ὡς προείρηται, ἀναλύονται κτῆσιν σημαίνουσαι. καὶ αἱ μὲν ἀπὸ πρώτου ἑνικοῦ πρώτου ἂν ῥηθεῖεν, ἑνικαί τε κατὰ τὸν κτήτορα, οἷον ἐμοῦ - ἐμός. ὁμοίως αἱ ἀπὸ τοῦ δευτέρου, σοῦ - σός, καὶ ἔτι αἱ ἀπὸ τρίτου, οὗ - ὅς. καὶ ἐπὶ δυϊκῶν ταὐτόν, νῶϊν - νωΐτερος, σφῶϊν - σφωΐτερος. τούτων τὸ τρίτον ὑπεστάλη διὰ τὸ μόνως ἐγκλίνεσθαι, ὅπερ ἡ

παραγωγὴ οὐ παραδέχεται· προείρηται δὲ καὶ A
ἐν τοῖς ἐπάνω. καὶ ἐπὶ πληθυντικῶν, ἡμῶν
- ἡμέτερος, ὑμῶν - ὑμέτερος, σφῶν
- σφέτερος. Τούτων τὰ τρίτα ἐν δυσὶ τρί-
τοις νοεῖται, τὰ μέντοι πρῶτα καὶ δεύτερα οὐ
πάντως ἐν πρώτοις καὶ τρίτοις, καὶ δευτέροις
καὶ τρίτοις, ὡς τινες ὑπέλαβον ἐκ τοῦ ἐμός
ἐστι καὶ σός ἐστιν. ἰδοὺ γὰρ πρώτου πρὸς
δεύτερον, ἐμὸς εἶ φίλος, καὶ δευτέρου πρὸς
πρῶτον,

ἀλλὰ πατὴρ τεός εἰμι. B

δύναται δὲ καὶ τρίτου πρὸς πρῶτον, ὡς ἐπὶ
τοῦ ὅς εἰμι· ἴσον γάρ ἐστι τῷ αὐτοῦ εἰμί.
σκληρὸν γάρ ἐστι τὸ λέγειν καὶ πρώτου πρὸς
πρῶτον καὶ δευτέρου πρὸς δεύτερον ἐν τῷ
ἐμός εἰμι καὶ σὸς εἶ. μόναις γὰρ ταῖς ἀν-
ταναπλωμέναις τὸ τοιοῦτο παρακολουθεῖ, χω-
ρὶς εἰ μὴ καὶ αὐταὶ μεταλαμβάνοιντο εἰς τὰς
συνθέτους, καθάπερ καὶ ἐνίας τῶν κατὰ τὸ
τρίτον κτητικῶν ἐπιδείκνυμεν εἰς συνθέτους με-
ταλαμβανομένας. νοείσθω δὲ ὡς ἡ τοιαύτη C
σύνταξις ῥήματα ἀπαιτεῖ ὕπαρξιν σημαίνον-
τα· ἐπὶ γὰρ τῶν ἄλλων οὐκέτι. ἐμὸς γρά-
φει· οὐκέτι δὲ καὶ ἐν δευτέρῳ.

Ἴσως τις δόξει τὰ κτήματα ὁρίζεσθαι ἐν
τοῖς πρὸς πρόσωπον λόγοις, παῖδες ἐμοί,
ἐμὸς εἶ, σός εἰμι, ἡμέτερε. Ὅπερ οὐ τοῦ
κτήματος ἴδιον, τοῦ δὲ μετειλημμένου δευτέρου
προσώπου, ὅπερ πάλιν οὐδὲ τοῦτο κατὰ τὸ

παντελὲς ὥρισται. προσδέεται γὰρ τὸ σός εἰμι· A
ἢ δοῦλος ἢ ἄλλο τι, καὶ ἡμέτερε· δοῦλε ἢ
πάτερ. πάλιν οὖν καὶ ἐπὶ τῶν τοιούτων ἡ
ποιότης ἐνδεῖ.

Βραχὺς λόγος πρὸς τοὺς οἰομένους ἀπ' αἰ-
τιατικῶν παρῆχθαι τὰς ἀντωνυμίας· παρὰ
γὰρ Δωριον τὴν ἀμέ καὶ ὑμέ καὶ ἔτι σφέ τὸ
ἀμέτερος καὶ ὑμέτερος καὶ σφέτερος, καὶ ἔτι
παρὰ τὴν Αἰολικὴν τὴν ἄμμε τὸ ἀμμέτερος,
καὶ παρὰ τὴν νῶϊ καὶ σφῶϊ νωΐτερος καὶ
σφωΐτερος. Πρῶτον οὐκ ἐξωμάλισται· πῶς B
γὰρ αἱ ἐνικαί; ἐμέ γὰρ καὶ ἐμός, σέ - σός
καὶ ἑ - ός, οὐδαμῶς τοῦ ε ἐγκειμένου. πῶς
δὲ καὶ τὸ ἡμέτερος καὶ ὑμέτερος τῷ α οὐ προς-
χρῆται, εἴγε τὸ ἡμᾶς καὶ ὑμᾶς; ἔπειτα εἰς
γενικὰς ἀναλυόμεναι συμφανεῖς εἰσὶ καὶ ἀπὸ
γενικῶν παρηγμέναι. ἔπειτα ἡ αὐτός ἐπιτα-
γματικὴ ὁμοιόσχημος οὖσα ἀεὶ ἐπιτάσσεται
ταῖς πρωτοτύποις, ταῖς δὲ κτητικαῖς κατὰ
μόνην γενικήν· καὶ δῆλον ὡς ἡ κατὰ τὸ ἐντὸς
πρόσωπον νοουμένη συντάσσεται, ἢ τις οὐκ ἄλ- C
λη ὀφείλει πτῶσις εἶναι ἢ γενική, ἀφ' ἧς καὶ
ἡ παραγωγή,

αὐτῶν γὰρ σφετέρῃσιν

καὶ

ἢ ἑὸν αὐτοῦ χρεῖος.

Ὃν τρόπον αἱ σύνθετοι τὸ γένος ἢ τὴν
πτῶσιν μετατιθεῖσαι κατὰ τὸ τέλος κινοῦνται,
τὸ δὲ πρόσωπον κατὰ τὸ ἄρχον, τὸν αὐτὸν

τρόπον καὶ αἱ κτητικαὶ ἐπὶ γένους καὶ πτώ- A
σεως κατὰ τὸ τέλος, ἐν προσώποις κατὰ τὸ
ἄρχον. ἔχουσι μέντοι περισσὸν τὸ ἐν ἀριθμοῖς
κατ' ἄμφω τὰ μέρη κινεῖσθαι· ἐμὸς γὰρ καὶ
νωϊτέρω καὶ ἡμέτεροι.

Ἄξιον ἐπιστάσεως ἐκεῖνο, ὁτιδήποτε τὰ
μὲν ῥήματα κινούμενα ἐν προσώποις κατὰ τὸ
τέλος κινεῖται, αἱ δὲ ἀντωνυμίαι οὐκέτι, ἀλλὰ
κατὰ τὸ ἄρχον. Καὶ ἴσως τις οἰήσεται τὸν
λόγον περισσὸν εἶναι, φάσκων τὰ μὲν ῥήματα
εἶναι, τὰς δὲ ἀντωνυμίας. Ἀλλὰ κοινὸν ἔχουσι B
τὸ πρόσωπον δηλοῦν, καὶ ἔτι μένει ἡ ζήτησις,
ἔπειτα ἡ μετοχὴ καὶ ἡ κτητικὴ ἀντωνυμία ἐν
γένει καὶ πτώσει κινούμεναι κατὰ τὸ τέλος κι-
νοῦνται, καθάπερ καὶ τὰ ὀνόματα, καὶ οὐ
διήλλαξε, διάφορα καθεστῶτα. Λεκτέον οὖν
ὡς φυσικῶς τὸ τοιοῦτον ἀπετελέσθη. αἱ πτώ-
σεις ἐν τῷ τέλει κινοῦνται, καὶ τοῦτο ἀποδεί-
ξεως οὐ δεῖται· πτῶσιν δὲ ἐπιδέχονται αἱ ἀν-
τωνυμίαι· ὀφείλουσιν ἄρα κατὰ τὸ τέλος κι-
νεῖσθαι. ὅπερ καὶ παρακολουθεῖ. ἀλλὰ μὴν εἰ C
καὶ κατὰ τὸ τέλος ἐν προσώποις ἐκινοῦντο,
σαφὲς ὅτι παρηκολούθησεν ἂν συγχύνεσθαι
τὴν πτῶσιν διὰ τὴν μετάθεσιν τὴν ἐκ τοῦ
προσώπου. προνοητικώτατα ἄρα κατὰ τὸ ἄρ-
χον κινεῖται, ἵνα ἄχραντος ἡ πτῶσις μείνῃ.
τὰ μέντοι ῥήματα, οὐκ ὄντα δεκτικὰ πτώσεως
ἢ μόνης εὐθείας, ἀκωλύτως τὸ τέλος ἐκίνει ἐν
προσώποις, ἐπεὶ οὐκέτι τὰ τῆς πτώσεως ἀμ-
φήριστα.

Νοείσθωσαν οὖν πάλιν αἱ πληθυντικαὶ A
τῶν κτητικῶν, αἵ τε δυϊκαί, ἐν συλλήψει κα-
θεστῶσαι πρώτου ἢ δευτέρου ἢ καὶ τρίτου,
καθότι καὶ αἱ πρωτότυποι ἐδείχθησαν. ἡμέ-
τερος γὰρ ὁ ἐμὸς καὶ σὸς καί, εἰ τύχοι, ἄλ-
λου του· καὶ νωϊτερος ὁ ἐμὸς καὶ σός, ἢ ἐμὸς
καὶ ἐκείνου.

Κοινὸν μὲν ἔχουσιν αἱ κτητικαὶ ἀντωνυμί-
αι πρὸς τὰ κτητικὰ ὀνόματα τὴν ἐν ἀμφοτέ-
ροις κτῆσιν ὑπακουομένην, τὴν τῶν δισσῶν
Bπροσώπων ἔννοιαν, τὸ εἰς γενικὰς ἀναλύεσθαι
μετὰ τοῦ κτήματος· οὐ κοινὰ δέ, καθὸ αἱ ἀν-
τωνυμίαι κοιναὶ παντὸς κτήματός εἰσι, τὰ δὲ
κτητικὰ ἰδιάζει κατὰ τὸν κτήτορα ἔσθ' ὅτε.
τὸ μὲν γὰρ ἐμός, σός κοινὸν ἐπὶ πάντων, τὸ
δὲ Ἑκτόρειος ἴδιον· ἐπὶ γὰρ μόνου Ἕκτορος.
ᾧ τρόπῳ διαφέρει καὶ τὸ Ἰλιόθεν τοῦ ἄλλο-
θεν· τὸ μὲν ἐκ τόπου μετὰ ἰδιότητος, τὸ δὲ
κοινὸν παντὸς τόπου. Πάντοτε ἐν δυσὶ τρί-
τοις τὰ κτητικὰ νοεῖται, αἱ δὲ ἀντωνυμίαι οὐ
Cπάντοτε, ὡς ἐδείχθη. Κατὰ τὸν κτήτορα ἀμ-
φιβάλλεται ὁ ἀριθμὸς ἐν προσηγορικοῖς, ἀν-
θρώπεια ἴχνη, πότερον ἑνὸς ἢ πλειόνων· αἱ
δὲ ἀντωνυμίαι οὔποτε. αἴτιον δὲ οὐκ ἄλλο ἐστὶ
τῆς ἀμφιβολίας ἢ τὸ τέλος ταῦ ὀνόματος,
δι' οὗ τὸν ἀριθμὸν καταλαμβανόμεθα, ὅπερ
κατὰ παραγωγὴν τοῦ κτητικοῦ παραφθείρε-
ται. ὅτε μὲν γάρ ἐστιν υἱὸς ἢ υἱῶν, νοεῖται ὁ
ἀριθμός, ἐπὶ δὲ τοῦ ὕειαι ἢ βόειαι σάρκες οὐκ-

ἔτι. αἱ μέντοι ἀντωνυμίαι, κατὰ ἀριθμὸν σχέ- A
ματα οὖσαι, οὐκέτι ἀμφιβολίαν ἐνεποίουν· οὐ-
δὲ γὰρ ἀπὸ τῶν αὐτῶν συλλαβῶν ἤρχοντο.
διὰ τοῦτο ἀπὸ τῆς ἐμοῦ ἑνικῶς παρελαμβάνε-
το ἡ ἐμός, καὶ ἔτι νῶϊν - νωΐτερος δυϊκῶς κα-
τὰ τὸν κτήτορα, καὶ ἔτι πληθυντικῶς ἡμῶν
- ἡμέτερος. ἐπεὶ δὲ τὰ κύρια ἑνικῶς πάντοτε
νοεῖται, εἴγε ἰδίαν ποιότητα σημαίνει, ὀρθῶς
τὰ ἀπ' αὐτῶν κτητικὰ ἐπὶ πλήθους νοεῖται,
λέγω δὲ τὸ Ἑκτόρειος καὶ τὰ παραπλήσια.
Καὶκείνῳ δὲ διαφέρουσιν, ᾗ ἀσύνηθες τῷ μὲν B
Αἰάντειος τὸ πατήρ ἐπιφέρειν ἢ ἀδελφός, τῷ
δὲ ἐμός καὶ σός.

Ὃν τρόπον τὰ εἰς ος λήγοντα τριγενῆ ὀνό-
ματα εἰς τὰ γένη καὶ τοὺς ἀριθμοὺς καὶ τὰς
πτώσεις μετασχηματίζεται, τὸν αὐτὸν δὴ τρό-
πον καὶ αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν κατὰ τὸ
τέλος σχηματίζονται κατὰ πᾶν πρόσωπον.
ὡς γὰρ τὸ καλός, οὕτω καὶ τὸ ἐμός καὶ σός
καὶ ὅς, κατὰ τὸ ἐντὸς ἑνικῶς νοούμεναι, καὶ
ὡς τὸ ὁσιώτερος, οὕτω καὶ τὸ νωΐτερος καὶ C
σφωΐτερος, δυϊκῶς κατὰ τὸ ἐντὸς νοούμεναι —
ὑπὲρ γὰρ τῆς τοῦ τρίτου ἐκλείψεως εἴρηται —·
καὶ ἔτι ὡς τὸ χαριέστατος, οὕτω καὶ τὸ ἡμέ-
τερος, ὑμέτερος, πληθυντικῶς κατὰ τὸν κτή-
τορα νοούμεναι.

Ἡ ΤΕΟΣ Δωρικὴ τῇ σός ὁμωνυμεῖ. καὶ
κοινῶς μέν πού φησιν ὁ ποιητὴς

σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεός,

A Δορικῶς δὲ τὸ

πατὴρ τεός,

καὶ ἔτι τὰ ἀπ' αὐτῆς,

τεὰ ἅρματα καὶ τεὼ ἵππω.

καὶ παρ' Αἰολεῦσιν. Ἀλκαῖος ἐν πρώτῳ·

τὸ δ' ἔργον ἀγήσατο τεὰ κόρα·

καὶ

οἴκῳ τε περ σῷ καίπερ ἀτιμίαις,

ὁ αὐτὸς κοινῷ ἔθει. Ἐπὶ ταύτης τῆς λέξεως
Βοίωτοὶ μεταβάλλουσι τὸ ε εἰς ι, καθὸ καὶ
B τρὶ θεός - θιός. Εἴρηται ὡς συναλειφθεῖσα,
ΤΕΥΣ, ὀξυτόνως λέγεται.

Ἡ ΟΣ καὶ ΕΟΣ δισυλλάβως λέγεται.
ἐν οἷς ἀμφίβολον κἀκεῖνο, πότερον διὰ τοῦ θ,
ὡς Ἀρίσταρχος,

ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν,

ἢ διὰ τοῦ τ,

ὅτε ὅς δόμος·

καὶ γὰρ τὰς πλαγίους διττῶς ἔστιν εὑρέσθαι,

ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ·

C ἢ δ' ὅτε δὴ οὗ πατρός·

καὶφ δ' ἐν Ἀθήνης εἷσεν ἑῷ·

καὶ

οὕνεκ' ἄρ' οὐχ ᾧ πατρί,

καὶ

αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρα·

ὃν καὶ Ὀδυσσῆος φθῖσαι γόνον.

καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων,

Ζεὺς δὲ πρὸς ὃν λέχος ᾖει·

ἣν ἄτην ὀχέων, Α

καὶ

μεθ' ἑὸν βέλος·

καὶ ἐπὶ πληθυντικῶν·

ἢ ἑοὶ αὐτοῦ

θῆτές τε δμῶές τε.

Κἀκεῖνο δὲ δύναται ὀρθὴν πληθυντικὴν σημαίνειν, εἰ κατ' ὀρθὸν τόνον ἀναγνοίημεν,

οἱ δὲ οἳ ἐβλάφθησαν.

Οὐ πιθανὸν τὸ λέγειν, ὡς οὐ πεπλεονάκει τὸ ε τῇ ἑός, ἀπὸ μέντοι τῆς ἕο Ἰακῆς παρ- Β ῆκτο. Τί οὖν οὐχὶ καὶ ἀπὸ τῆς ἐμέο καὶ σέο σύζυγοι ἐγίνοντο ἐμεός καὶ σεός; ἄμεινον οὖν λέγειν ὡς ἢ πεπλεονάκει τὸ ε, καθὰ καὶ αἱ πρωτότυποι πολλάκις, ἢ ἀπὸ τῆς τεός Δωρικῆς ἀπετελέσθη, ἐπεὶ ἀδύνατον τὰ τρίτα τῶν δευτέρων πλεονοσυλλαβεῖν.

Αἰολεῖς μετὰ τοῦ F κατὰ πᾶσαν πτῶσιν καὶ γένος·

τὸν Fεὸν παῖδα καλεῖ,

Σαπφώ. καὶ Ἀλκμὰν δέ, συνεχῶς Αἰολίζων, C φησί

τὰ Fεὰ κάδεα·

ὁμοίως καὶ Βοιωτοί. Κόρινna·

ευωνυμιης πιδεγον θελωσα φίλης ἀγκάλης ελησθη.

Εἴρηται ὑπὲρ τῆς ὁμοφωνίας τῆς ΕΜΟΥ̃, ΣΟΥ̃, ΟΥ̃ πρὸς τὰς πρωτοτύπους, καὶ ὡς τῇ εἰς ΟῩ καταλήξει ἐπὶ τῶν κτητικῶν

Α ὁ ποιητὴς χρῆται, ἐπὶ δὲ τῶν πρωτοτύπων οὐκέτι,

εἰ δή τοι σοῦ πατρός

καὶ

πατρὸς ἐμοῦ κλέος,

ἥ δ' ἄχεϊ οὗ παιδός·

ὅθεν πρὸς ἑνίων καὶ τὸ

οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσί

διὰ τοῦ ο ἐγράφετο, εἰ μὴ δόξῃ τὸ αἵματος πλεοναζειν. Ἔτι γε μὴν ἐπὶ τοῦ

Β πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο

λείπειν φασὶ τὴν περί ἐθίμως, ἵν' ᾖ περὶ δαιτὸς πρῶτοι ἐμοῦ μεταλαμβάνετε. Τί οὖν ἂν εἴη τὸ

σεό δ' ὀστέα πύσει ἄρουρα·

ἢ μή τις σεῦ μῆλα;

ἢ οὐδ' ὅλως τοῖς τοιούτοις ἐπιστατέον. αἱ γὰρ γενικαί, ὅτε ἐπὶ κτῆμα φέρονται, ἰσοδυναμοῦσι ταῖς κτητικαῖς· διὸ καὶ ἀκωλύτως τὰ κτητι- Cκὰ εἰς αὐτὰς ἀναλύεται. οὐ μὴν τὰ Ζηνοδότεια παράλογα,

μνῆσαι πατρὸς σεῖο

καὶ

πατρὸς ἐμεῖο πατήρ·

τῷ γὰρ αὐτῷ ἐνέχεται λόγῳ· προκριτέαι μέντοι αἱ κτητικαὶ γραφαί, καθότι αἱ γενικαὶ κτῆσιν δηλοῦσαι ἐγκλινόμεναι θέλουσιν εἶναι,

δοῦλός μου, οἶκος ὕμων, αἱ δὲ ὀρθοτο- A
νούμεναι οὔ. Οὐχὶ οὖν καὶ τὸ

σέο δ' ὀστέα πύσει ἀρουρα

ὀρθοτονεῖται, καὶ τὸ

ἀκουάζεσθον ἐμεῖο

καὶ

οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσίν;

Ἀλλ' ἀναγκαίως, ἡ μὲν σέο, ὅτι ἐν ἀρχῇ, ἡ δὲ ἐμεῖο καὶ

σεῖο μέγα κλέος,

καθὸ τῷ ῑ πλεονάζουσιν, ἡ δὲ ἐμεῦ, ὅτι συν- B
τέτακται προθέσει.

Εἰ αἱ κτητικαὶ οὐδέποτε ἐπὶ πρᾶγμα φέρονται, σαφὲς ὅτι ὡς τὸ

ὀδυσσαμένοια τεοῖο

ἐπὶ πρᾶγμα φερόμενον ὠλιγώρηται· δέον γὰρ γενικὴν παραλαμβάνειν, ἥτις καὶ ἐπὶ πρᾶγμα φέρεται. εἰ δὲ ἀπὸ τῆς τέο Θετταλικῶς ἐξετάθη, ὡς τινες ᾠήθησαν, δῆλον ὡς καὶ κατὰ τὸ πρῶτον καὶ τρίτον· ὅπερ οὐκ ἐστι· ψεῦδος ἄρα καὶ τοῦτο. C

Αἰολεῖς Ἐμω, Σῶ, Ὦ. Ἡ Ἐμοῖο, Σοῖο, Οἷο ἤτοι μετὰ διαιρέσεως τὸ ῑ προσέλαβον, ἢ Θετταλικαί εἰσιν, ὡς καὶ Ἀριστάρχῳ ἤρεσκεν. Οὐκ ἄλογος δ' ἂν εἴη καὶ ἡ αἰτία τοῦ τὴν μὲν κτητικὴν διὰ τῆς οῑ παράγεσθαι, τὴν δὲ πρωτότυπον διὰ τῆς ει. εἰ γὰρ ἀπὸ τοῦ καλοῦ καλοῖο, μετατιθεμένου τοῦ υ εἰς τὸ ῑ καὶ προστιθεμένου τοῦ ο, σαφὲς ὅτι καὶ

A ἐπὶ τῆς ἐμοῦ ταὐτὸν παρηκολούθει. ὅπερ ἔθιμον ἐπὶ κτητικῶν παρὰ τῷ ποιητῇ, εἰς οῡ λήγειν ἐπὶ γενικῆς, τὸ δὲ πρωτότυπον εἰς εο καὶ ευ, ἀφ' ἧς πάλιν ἀνάλογον τὸ ἐμεῖο.

Τὸ

ὡς οὐδὲν γλύκιον ἧς πατρίδος

τρίτον νοητέον· τοῦτο γὰρ οὐ κατὰ τὸ αὐτῷ ἀρέσκον ἀνεφωνήθη πρὸς τοῦ ἥρωος. ἐποίσει γοῦν ἔτι δίηκον ἐπὶ παντὸς

εἰ καί τις ἀπόπροθεν.

B οὕτως ἔχει καὶ τὸ

οὔτι ἔγωγε

ἧς γαίης δύναμαι·

τῆς γὰρ ἑκασταχοῦ γῆς. Τὸ μέντοι

ἀλλ' αἰεὶ φρεσὶν ἧσιν ἔχων,

ἀντὶ τοῦ ἐμαῖς, εὐλόγως ὑπ' Ἀριστάρχου ὑπωπτεύετο ὡς νόθον, καθὸ ἀδιάπτωτος ἐν ἀντωνυμίαις. πλεῖστα γοῦν ἔστι παρ' ἑτέροις εὑρεῖν, σφέτερον πατέρα ἀντὶ τοῦ ὑμέτερον, ἀντὶ τοῦ τεά τοι κήδεα λέξον ἐά παρὰ

C Καλλιμάχῳ, καὶ πάλιν παρ' αὐτῷ ἀντὶ τοῦ σφωϊτέρου. Ἀλκμάν·

ὑμέ τε καὶ σφετέρως ἵππως·

σφεὰ δὲ προτὶ γούνατα πίπτω.

ἀλλὰ μὴν καὶ τὸ σφετερίζομαι, σύνηθες ὄν, ὠλιγώρηται ἐπὶ πρώτου καὶ δευτέρου τασσόμενον. ἀλλ' οὐδ' ἐν τῇ κατὰ τὸ τρίτον ἐκφορᾷ ὑγιές, εἴγε οὐδέποτε ἀπ' ἀντωνυμιῶν ῥήματα παράγεται. Οὐ πιθανὴν ἀπολογίαν τινές

φασιν, ὡς ἐν ῥήμασι παραλλαγὴ προσώπων· A
διώκετον γὰρ ἀντὶ τοῦ διωκέτην· καὶ ἐν ὀνόμασιν· ἠέλιος γὰρ ἀντὶ τοῦ ἥλιε· καὶ ἐν ἐγκλίσεσι, δέχεσθαι ἀντὶ τοῦ δέχεσθε· οὕτω καὶ ἐν προσώποις ἀντωνυμιῶν. μένει γὰρ ἡ αὐτὴ παραλογία. πρὸς οἷς καὶ ἃ παρατίθενται, ἴδιμα διαλέκτων. Αἱ κατὰ τὸ τρίτον φασὶν εἰς τὸ ἴδιον μεταλαμβάνονται, διὸ καὶ τὸ σφέτερον πατέρα ἀντὶ τοῦ τὸν ἰδιόν τινες δέχονται. Τί δέ; οὐχὶ καὶ αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον κτητικαὶ τὸ ἰδιόν τινος B
σημαίνουσι; πῶς γὰρ ἀλλότριον ὂν κτῆμα τινος;

Ἐν ταῖς Ζηνοδοτείοις διορθώσεσι δίχα τοῦ ν̄ τὸ

Ζεὺς δὲ πρὸς ὃν λέχος

ἐγράφετο, καὶ ἡ ἀφορμὴ ἐκ τῶν ὑποτακτικῶν ἄρθρων, ἅπερ ὁμοφωνεῖ ταῖς κτητικαῖς κατὰ τὸ τρίτον. τὸ γὰρ ὅς ὑποτακτικὸν ὁμόφωνον τῷ ἀπὸ τοῦ ἐμός, σός, ὅς, καὶ ἐπὶ πάντων ταὐτόν. ἄλλως τε εἰ ἀπὸ τοῦ αὐτός, ἐκεῖνος, C
οὗτος τὰ οὐδέτερα εἰς ὃ ἔληξεν, οὐκ ἀπίθανον ἐπὶ τοῦ ὅς ἀντωνυμικοῦ τὸ οὐδέτερον εἰς ὃ λήγειν. Ῥητέον δὲ πρὸς μὲν τὸ πρῶτον, ὡς οὐ μᾶλλον ἡ ἀντωνυμία παράλογος ἢπερ τὸ ἄρθρον, καθὸ εἰς ν̄ οὐκ ἔληξεν. ἔπειτα τὰ κατὰ τὸ πρῶτον καὶ δεύτερον ὁμοιοκατάληκτα καὶ κατὰ τὸ τρίτον· ὅθεν εἰ ἐμόν καὶ σόν, καὶ ὅν. πρὸς οἷς οὐδὲ πάντοτε ὁμοφωνεῖ· ἰδοὺ γὰρ ἑός

A μὲν ἡ ἀντωνυμία, οὐκέτι δὲ τὸ ἄρθρον. πρὸς δὲ τὸ δεύτερον, ὅτι ἡ μὲν ἐκεῖνο καὶ τοῦτο μονοπρόσωποι, τὸ δὲ διπρόσωπον. ἄλλως τε θεματικώτεραι αἱ πρωτότυποι καὶ ἐν τοῖς γένεσιν· ἀπὸ γὰρ τοῦ οὗτος αὕτη, καὶ ἔτι τοῦτο, τοῦ ἀρσενικοῦ οὐκ ἀπὸ τοῦ τ̄ ἠργμένου. ἔτι αἱ κτητικαὶ ἀντωνυμίαι ὡς ὀνόματα καθ' ἅπαν εἰς τὰ γένη καὶ τὰς πτώσεις παράγονται, τῶν δὲ ὀνομάτων εἰς ν̄ τὰ οὐδέτερα. δῆλόν τε ὡς καὶ τὸ ἄρθρον κατώρθωται. τὰ
B γὰρ ἀπὸ τοῦ τ̄ ἀρχόμενα προτακτικὰ ἀποβολῇ τοῦ τ̄ τὰ ὑποτακτικὰ ποιεῖ· ὅθεν εἰ τό, δῆλον ὡς καὶ ὅ.

Ἐδείχθη ὡς ἀπὸ ἐγκλινομένων οὐ παράγονται αἱ κτητικαί. καὶ οἱ ἀξιοῦντες οὖν ἐγκεκλιμένην, ὡς τρίτου, εἶναι γενικὴν τὴν

ἀλλ' εἶπ' εἴ σφωϊν

καὶ

γυιώσω μέν σφωϊν,

καὶ ἀπ' αὐτῆς κτητικὴν παρ' Ἀντιμάχῳ εἰρῆ-
C σθαι ἐπὶ Τυδέως καὶ Πολυνείκους τὸ σφωϊτέρην ὀϊζύν καὶ διὰ τῆς δευτέρας Ἐτεοκλέους καὶ Πολυνείκους τὸ σφωΐτερον μῦθον, ἑαυτοῖς ἐναντιοῦνται. δέον γὰρ μᾶλλον ἐπίμεμπτον καταλείπειν τὸ σχῆμα ἢ μαχόμενον πρὸς τὰ ὅλα. ἄλλως τε οὐδέποτε τρίτον δευτέρῳ ὁμοφωνεῖ· ἔστι δὲ δεύτερον κατὰ τὸ ἐντὸς δυϊκὸν ἀπὸ πρώτου τοῦ νωΐτερος τὸ σφωΐτερος.

Τὴν ἩΜΕΤΕΡΟΣ, κατὰ τὸν κτήτορα οὖ- A
σαν πληθυντικήν, διχῶς λέγουσι Δωριεῖς·
ἌΜΕΤΕΡΟΣ γὰρ καὶ ἌΜΟΣ, καὶ ὙΜΕΤΕ-
ΡΟΣ καὶ ὙΜΟΣ, καὶ ΣΦΕΤΕΡΟΣ καὶ ΣΦΟΣ.
Προείρηται ὡς καὶ παρ' Ὁμήρῳ τὰ τοιαῦτα
Δωρικά,

τὰ δ' οὐ μένος ἀμὸν ἐρύξει·
ἀμφὶ σφοῖς ὀχέεσσι·

καὶ τὸ

πρὸς πέτρῃσι βαλὼν ὑμῆς·

οὐ μὴν κατὰ τὸ τέλος· διὸ οὐδὲ τὸ B
σαωσέμεναι νέας ἁμάς

οὐ συνεστάλη κατὰ τὸ τέλος, καθὸ οὐδὲν τοῖς
τέλεσιν ἐδώριζε. καὶ γάρ πού φησι

οὐδέπω ἀμῆς
γῆς ἐπέβην.

Τὸ

σφεᾶς ἔειξε χώρας

παρ' Ἀλκμᾶνι τῷ ε πλεοναζει. Εἴρηται ὡς τὸ

ἦτοι γὰρ πατέρ' ἀμὸν

ἴσον ἐστὶ τῷ ἡμέτερον, ἀλλ' οὐχ ὥς τινες ὑπέ- C
λαβον ἐκ τοῦ ἐμός μετειλῆφθαι· οὐ γάρ ποτε
τὸ ε εἰς α μακρὸν μεταλαμβάνεται, ὅτι μὴ
ἐπὶ τοῦ κέν συνδέσμου, καὶ ταῦτα, εἰ δοθείη.
ἄλλως τε σύνηθές ἐστι τὸ πληθυντικοῖς ἀντὶ
ἑνικῶν χρῆσθαι,

ἡμεῖς δ' οὔ νύ τι τοῖοι ἀμυνέμεναι,

καὶ ἐφ' ἑνὸς τοῦ Πατρόκλου,

ἡμέτερος θεράπων·

τοιοῦτον οὖν καὶ τὸ ἀμός. πρὸς οἷς καὶ τὸ A
ὑμόν καὶ σφόν συζυγοῦντα ὁμολογεῖ τὸ ἐντὸς
πληθυντικόν. καὶ ἡ συνήθης φράσις ἀνάπλεώς
ἐστι τοῦδε τοῦ σχήματος. καὶ οὐκ ἀπεμφαίνει
ὁ λόγος· ἐμπεριεκτικὸς γάρ ἐστιν ὁ πληθυντι-
κὸς ἀριθμὸς τοῦ ἑνικοῦ. Οὐχὶ οὖν καὶ ὁ δυϊ-
κός; τί οὖν οὐχὶ δυϊκοῖς χρώμεθα ἀντὶ ἑνικῶν;
Ἀλλ' οὐκ ἔστιν ὅμοια. ὁ μὲν γὰρ δυϊκὸς ὡς
κύριον ὄνομα κατὰ τοῦ δύο ἐτάχθη, ὁ δὲ
πληθυντικὸς κοινὸς παντὸς πλήθους καθέστη- B
κε, καὶ διὰ τοῦτο γενικὸς ὢν κατὰ τῶν εἰδι-
κῶν τάσσεται. διὸ καὶ μεμφόμεθα τὸ δυϊκὸν
κατὰ πληθυντικῶν τασσόμενον, καὶ ἔτι τὸ ἑνι-
κόν. πάλιν δὴ ὁ Ἀλκμὰν τὸ σφέας ἀντὶ ἑνι-
κοῦ ἔταξε καὶ τὸ σφοῖς ἀδελφιδέοις κα-
ραν καὶ φόνον. Ἡσίοδος μέντοι ἐπίμεμ-
πτός ἐστιν εἰπὼν

ἐὸν κακὸν ἀμφαγαπῶντες,

ἐν ᾧ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο. Καλ-
λίμαχος·

C μοῦσαί νιν ἑοῖς ἐπὶ τυννὸν ἔθεντο,

καὶ

ἐὸν δέ μοι οἷα γονῆα·

δέον γὰρ σφόν καὶ σφοῖς. καὶ παρ' ἄλλοις δὲ
πλεῖστα· παραπεμπτέον δὲ ὑπὲρ τοῦ μὴ ἐπὶ
πλεῖον προάγειν τὸν λόγον. ὑπὲρ δὲ τοῦ Ἡσιο-
δείου οὕτω τινὲς ἐκδέχονται, τῆς ἀντὶ πυρὸς
δοθείσης γυναικὸς τέρπονται ἐὸν ἕκαστος κα-
κὸν ἀγαπῶντες.

Αἰολεῖς ᾽ΑΜΜΕ῾ΤΕΡΟΝ καὶ ᾽ΑΜΜΟΝ καὶ A
᾽ΥΜΜΟΝ καὶ ΣΦΟ῾Ν. Σαπφώ·

ἔμε τιμίαν ἐποίησαν ἔργα τὰ σφὰ δοῖσαι.

῾Υπὲρ δὲ τοῦ τὸ ἀμός καὶ ὑμός συγκεκόφθαι παρὰ ταῖς διαλέκτοις εὑρητέον, ὡς τινες ὑπέλαβον, καθὸ δύο συλλαβαὶ οὐ συγκόπτονται· ἰδοὺ γὰρ τὸ Δευκαλίδης καὶ ᾽Ανθεμίδης· ἀλλὰ καθὸ μὴ βαρύνονται, τοῦ ἡμέτερος βαρυνομένου καὶ ὑμέτερος καὶ σφέτερος. χωρὶς εἰ μὴ λέγοι τις συνεκθεδραμηκέναι αὐτὰς κατὰ τὴν τάσιν τῇ ἐμός καὶ σφός· τὸ γὰρ σφός καὶ μο- B
νοσυλλαβῶν ἀναγκαίως ὠξύνετο.

Τῆς ᾽ΕΜΑΥΤΟΥ῀ πλαγίου καὶ ἔτι τῶν ὑπολειπομένων οὔτε ῥητὴ ἡ εὐθεῖα οὔτε συστατή. καὶ ὅτι οὐ ῥητή, τουτέστιν οὐ συνήθης, συμφανές, χωρὶς εἰ μὴ ἐν Μετοίκοις Φερεκράτους ἅπαξ ἐστὶν εἰρημένη, καὶ ἴσως ἕνεκα τοῦ γελοίου. ὡς δὲ οὐκ ἔστι συστατή, σαφὲς ἐντεῦθεν. Καθότι αἱ πλάγιοι σύνταξιν ποιοῦνται ἐν διαβιβασμῷ προσώπων πρὸς τὴν εὐθεῖαν, ἐμὲ Διονύσιος ἔπαισεν, ἐγώ σοι C
ἐλάλησα, ᾽Αριστοφάνης ᾽Αρίσταρχον ἐδίδαξεν. ἦν δὲ καὶ σύνταξις ἐν πλαγίοις μετὰ τῆς ἐπιταγματικῆς τοιάδε, ἐμὲ αὐτὸν ἔτυψεν οὗτος, ἐμοὶ αὐτῷ ἐλάλησεν ᾽Αρίσταρχος. καὶ ἡ μὲν τοιαύτη σύνταξις ἀσυνελεύστους εἶχεν εἰς σύνθεσιν τὰς ἀντωνυμίας. ἐπεὶ δὲ πολλάκις αἱ ἐκ τῶν ῥημάτων ἐνέργειαι οὐ μόνον ἐξ ἑτέρων προσώπων εἰς ἕτερα ἀπε-

A ἀπετελοῦντο, ἀλλὰ καὶ αὐτοπάθειαί τινες ἐγίνοντο, τουτέστιν ὅτε ἓν πρόσωπον τό τε δρῶν καὶ τὸ δρώμενον, ἀπετελεῖτο δισσὸν σχῆμα τῶν ἀντωνυμιῶν, τό τε σύνθετον, ὅπερ καλεῖται ἀνταναπλώμενον, καὶ τὸ ἀλλοπαθές, ἐμὲ αὐτὸν ἔπαισα - ἐμαυτὸν ἔπαισα, ἐμοὶ αὐτῷ ἐλάλησα - ἐμαυτῷ ἐλάλησα. ἔνθεν τὰ κατὰ διάστασιν παρὰ τοῖς ποιηταῖς εἰς σύνθεσιν παραλαμβάνομεν, τοῦ τοιούτου παρεπομένου·

B ἐμέθεν περιδώσομαι αὐτῆς·

ἴσον γάρ ἐστι τῷ ἐμαυτῆς· καὶ

ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι ἅσσ᾽ ἂν ἐμοί περ
αὐτῇ·

ἀντὶ τοῦ ἐμαυτῇ. ἔνθεν οὖν λέγω ἐπὶ τῶν πλαγίων τὸ χρειῶδες ἦν τῆς συνθέσεως. οὐ γὰρ δή γε ἐπὶ τῆς εὐθείας ἔτι τὸ δισσὸν παρείπετο τῆς συντάξεως, λέγω τὸ αὐτοπαθὲς καὶ τὸ ἐν μεταβάσει προσώπου. διὸ οὐδὲ συνε-
C τίθετο τὸ ἐγὼ αὐτός. καὶ εἰ τοῦτο, προφανὲς ὅτι οὐδὲ τῆς ἐμαυτοῦ κτητικῆς εὐθεῖά τις συστήσεται. ἐπεί τοι ὤφειλεν οὐ μᾶλλον ἐμαυτός ὡς ἐγαυτός, εἴγε καὶ τῆς ἐμοῦ ἐστὶν ὀρθὴ ἡ ἐγώ, μετ᾽ ἐπιταγματικῆς τῆς αὐτός. Ἔτι ταῖς συνθέτοις ἀντωνυμίαις ῥήματα σύνεστι τοῦ αὐτοῦ προσώπου, ἐμαυτὸν ἔπαισα, ἐμαυτῷ ἐλάλησα, καὶ δυνάμει ἡ σύνταξις τοιαύτη ἐστίν, ἐγὼ ἐμὲ ἔπαισα, ἐγὼ ἐμοὶ

ἐλάλησα. καὶ φανερόν ἐστιν ὅτι ἡ σύνταξις A
τοῦ ῥήματος δυνάμει ἐστὶν ὀρθὴ πτῶσις μετὰ
πράγματος. εἰ οὖν συσταίη ἡ ἐμαυτός, καὶ
μετ' αὐτῆς ῥῆμα τοῦ αὐτοῦ προσώπου συντάσ-
σοιτο, γένοιντ' ἂν δυνάμει δύο εὐθεῖαι. δύο
δὲ εὐθεῖαι οὐδέποτε θέλουσι συντάσσεσθαι ἐν
ταῖς συντάξεσι τῶν ῥημάτων, ἀλλὰ πλάγιος
καὶ εὐθεῖα, ἔν γε ταῖς ἐν μεταβάσει ἐχούσαις
τὸ ἕτερον πρόσωπον. οὐκ ἄρα συστήσεται ἡ
ἐμαυτός κατὰ τοῦτο. Ἀλλὰ καὶ εἰ τοῦτό τις
παραλάβοι, ὡς τὸ ἀλλήλων καὶ ἀλλήλους B
σύνθεσιν ἔχει ἀπὸ προσώπου εἰς πρόσωπον
διαβατικήν, ἐν εὐθείᾳ καὶ πλαγίῳ νοουμένην,
καὶ κατὰ τοῦτο οὐδὲν κωλύσει τὴν ἐμαυτός
συ τῆναι ἐκ πλαγίου καὶ εὐθείας, φαίημεν ἂν
ὅτι ἡ ἀντιπαράθεσις οὐκ ἔστιν ὁμοία. ἐκεῖνο
μὲν γὰρ ἐξ εὐθείας καὶ πλαγίου συνέστηκε,
λέγω δὴ τὸ ἀλλήλων καὶ ἀλλήλους, καὶ οὐκ
ἔστιν αὐτοῦ ἡ εὐθεῖα· δύο γὰρ εὐθεῖαι, ὡς
ἔφαμεν, μετὰ ῥήματος ἀσύστατοί εἰσιν ὡς
πρὸς διάβασιν δραστικὴν τοῦ τε δρῶντος καὶ C
τοῦ δρωμένου. ἐπὶ μέντοι τοῦ ἐμαυτός ἀντε-
στραμμένη ἡ σύνθεσις· πλάγιον γὰρ καὶ εὐ-
θεῖαν νοοῦμεν συντεθειμένην. Καὶ ἐγίνετο τὸ
σχῆμα ἄκλιτον. οὔτε γὰρ κατὰ τὸ τέλος κλί-
νεσθαι ἐδύνατο, ἐπεὶ μετὰ ῥήματος ἡ σύντα-
ξις τῆς εὐθείας οὖσα οὐδέποτε πλάγιον ἀνα-
δέχεται, χωρὶς εἰ μὴ ἐπὶ τῶν σεσημειωμένων
συμβαμάτων καὶ παρασυμβαμάτων παρὰ τοῖς

A Στωϊκοῖς, λέγω δὲ τοῦ μέλει καὶ μεταμέλει·
οὔτε μὴν κατὰ τὸ ἄρχον μέρος τῆς συνθέσεως,
ἐπεὶ ἅπαξ τὰ συντιθέμενα ἄκλιτά ἐστιν. εἰ
οὖν οὐκ ἔχει ἡ ἐμαυτός γενικὴν καὶ τὰς ὑπο-
λειπομένας, οὐδ' ἡ γενικὴ καὶ αἱ ὑπολειπομέ-
ναι ἕξουσιν εὐθεῖαν. πῶς οὖν οὐχὶ βίαιον τε-
τριμμένον σχηματισμὸν παρώσασθαι, καὶ
ἀτριβῆ καὶ ἄκλιτον καὶ ἔτι ἀμφίβολον παρα-
δέξασθαι; πάλιν γὰρ τὸ συντιθέμενον μέρος
τῆς συνθέσεως ἡ γενική ἐστιν ἡ δοτικὴ ἢ αἰ-
B τιατική. Ἀλλ' ἴσως ἂν τις φαίη, πῶς οὖν τὸ
ἀλλήλων κλίνεται; Ὅτι ἐξ εὐθείας σύγκειται
καὶ πλαγίου. εἶτα συνέβη τῇ μὲν κατ' ἀρχὴν
συνθέσει κατὰ δύο τρόπους μὴ κινεῖσθαι, καὶ
καθότι εὐθεῖα σὺν ῥήματι παραλαμβανομένη,
καὶ ὅτι συνῆπται κατὰ σύνθεσιν· τὸ δὲ κατὰ
τέλος κλίνεσθαι πάλιν κατὰ δύο, καὶ καθότι
ἐπὶ τέλους ἐστίν, ὅπερ παρέπεται παντὶ πτω-
τικῷ κλίσιν ἀναδεχομένῳ, καὶ καθότι τῆς εὐ-
θείας μενούσης συντάξει ῥήματος κινούμενον τὸ
C πλάγιον σχῆμα, ὡς πρὸς τὴν διάθεσιν τῆς
εὐθείας, ἐγώ σοι δέδωκα, σύ με ἔτυψας,
Ἀριστοφάνης Ἀρίσταρχον ἐδίδαξεν.

Ἡ καλουμένη ἐπιταγματικὴ ἀντωνυμία
καὶ προτάσσεται καὶ ὑποτάσσεται,

αὐτῷ τοι μετόπισθεν·
σοὶ δ' αὐτῷ μελέτω·

ἐπεκράτησε μέντοι τὸ τῆς ὑποτάξεως, ὃ καλεῖ-
ται ἐπιταγματικόν. ὃν τρόπον οὖν τὸ ἐπίῤῥημα

καὶ προτάσσεται τῷ ῥήματι καὶ ὑποτάσσεται, Α
ἀπὸ δὲ τῆς ἑτέρας συντάξεως, λέγω δὴ τῆς
ὑποταγῆς, τὸ ὄνομα ἔλαβε, τὸν αὐτὸν τρόπον
καὶ ἡ προκειμένη ἐπιταγματικὴ ἀντωνυμία.
μή ποτε δὲ διὰ τοιοῦτόν τινα λόγον κατ' ἀμ-
φοτέρας τὰς συντάξεις ἑνὸς τετύχηκεν ὀνόμα-
τος. ὅταν μὲν γὰρ προτάσσηται, ἀπὸ ταύτης
ἐννοίας καλεῖται ἐπιταγματική, οἱονεὶ ἐφ' ᾗ
τάσσεται ἄλλη . . . . τουτέστιν με . .
. . . . πρα. ατι - . . . . - . . .
. . νδ . . . ται . . . εν ε . τ . .
. . σσεσθαι . . κν δ . . αν . † † †
ς ς ς ς ς ς ς ς ς ς ς

VARIAE LECTIONES AD APOLLONII LIBRUM DE PRONOMINE.

Pag. 1. B. 1. ΠΑΝΤΙ'] Fol. 184 r. Hic codex, cuius paginas diplomaticae fidei causa suis quasque locis adscripsimus, numeratur inter Parisienses 2548: commemorarunt eum *Bastius, Epist. crit.* pag. 147 et *Hasius, Recueil de mémoires sur différens Manuscrits Grecs* p. 8. Membranaceus est, saeculo scriptus quarto decimo, in foliis 194 quadruplicatis, atramento et parum nigro et permultis locis evanido, compendiatis plerumque extremis versibus, accentibus prope nullis, membris orationis et ipsis vocibus raro distinctis. Continet is Apollonii et editos quatuor de *Syntaxi* libros et ineditos libros tres. Editi folia implent 92; truncati autem sunt initio atque iis, quae apud Sylburgium leguntur inter voces παραλαμβανόμενον p. 22, v. 3 et ὁ Τρύφων p. 72, v. 30; ceterum tanta

scripturae et bonitate et integritate, quae praestet omnibus qui adhuc innotuerunt eorum librorum codicibus. Ineditorum primus est de Coniunctionibus, lacunosus ille circa initium, et interioribus paginis, inde a folio 95, madore corruptis; quae clades secundi quoque maiorem partem afflixit: est is de Adverbiis.

B. 2. *σαφηνείας πολλῷ κρείττων*] Cod. *σαφηνιας π. κρειττω.*

C. 3. *Ἀρίσταρχος*] Conf. de Syntaxi p. 105, 25. ed. Sylb.

C. 6. *μᾶλλον γάρ*] Corrigendum vel *μᾶλλον δέ*, vel, quod est de Syntaxi p. 90, 30 et p. 105, 29, *καὶ μᾶλλόν γε.*

Pag. 2. A. 1. *τοῦ Τροιζηνίου*] Cod. *του τρυζηνιου.*

A. 8. *ὡρισμένα*] Cod. *ορισμενα*, uti plerumque hic corruptum est.

A. 10. *ἀπιθάνως*] Cod. *απειθανως*, idemque mox *ελλειπες.*

B. 7. *εἰδικῶν*] Cod. *ιδικων*, et sic omnibus prope locis.

C. 4. *τό τε Αἴας*] Fol. 184 v.

C. 6. *ὁμώνυμον*] Cod. *...νυμον.*

C. 7. *ἀντωνυμίαν*] Cod. *αντων*, et paullo post, *εἰ μὴ γενικοῖς*, sine articulo.

Pag. 3. A. 1. *τὸ ζῶον τιθέντες*] Cod. *το ... τιθέντες.*

A. 8. *ὡς τὸ Εὔξεινος πόντος Ἰακῶς τῷ ῑ πλεονάσαν*] Cod. *ως ευξ. π. ι. το ῑ πλ.*

A. 9. *συναλειφθείς*] Cod. *συναληφθεισ.* Velut de Syntaxi p. 131, 12 *ὑπεσυνελήφθη* editum est pro eo, quod verum est, *ὑπεσυνηλείφθη.*

B. 6. *ἀφορία*] Suspectum vocabulum.

Ibid. *χρή*] Immo *χρῆν.* De Syntaxi p. 39, 15. *εἰ δὲ τοῦτο ἀληθές, ἔδει τὸ ἄρθρον ... ἄκλιτον καθίστασθαι· νυνὶ δὲ κλίνεται.* Conf. p. 19, 16 et 48, 18.

C. 9. *χρεοφείλης*] Hoc quoque suspectum est.

Pag. 4. A. 7. *χειμάσαι*] Cod. *χειμασω.*

B. 5. *ἔξαρθρον, καὶ αὐτὸ τὸ κῶλον*] Fol. 146 r. Cod. *εξαρθρον .... το κωλον.*

B. 8. *τὸν αὐτὸν τρόπον*] Cod. *τον αυτον ...ν.*

B. 10. *ἐκάλεσαν. Συνηγορεῖ*] Cod. *εκαλεσαν ....ρει.*

C. 5. *ἦλθε*] Hom. Iliad. I, 12. Cf. de Syntaxi p. 22, 18 et 112, 13.

C. 6. *λυκάβαντος*] Hom. Odyss. XIV, 161.

C. 7. *ὕπνος*] Odyss. XIII, 79.

C. 9. *Ἥρη*] Iliad. XIX, 97.

Pag. 5. A. 2. *δείδοικεν*] Iliad. XXI, 198.

A. 4. *θανόντων*] Iliad. XXIII, 9.

A. 6. *θέουσα*] Odyss. XIII, 88.

A. 8. *τῆς ἀρετῆς*] Odyss. II, 206. Cf. de Syntaxi p. 112, 15.

A. 10. ἄνακτα] Odyss. XIV, 36.

B. 1. ἐνδῦσα] Iliad. V, 736. VIII, 387.

B. 3. ἑ, οἱ] Cod. ἑαί οἱ.

B. 5. κλητικάς] Cod. κλιτικας.

C. 2. καὶ καθόλου] Cod. καθολου και.

C. 7. τὸ τούτου] Cod. τοῦ τούτου, ut congruerent scilicet casus.

C. 9. ἀπὸ τοῦ τ̄] In codice deest τοῦ.

Ibid. τὸ τοῦτο] Conf. de Syntaxi p. 115. ubi corr. παρὰ δὲ τὸ τηλίκων τὸ τηλικούτων (v. 29), et οὐκέτι αὑτῶν (v. 31), et ἀπὸ γενικῆς πρωτοτύπου τῆς τῶν, τοῦ τ̄ συμπαραλαμβανομένου (116, 3).

Pag. 6. A. 5. πάντως ἐκείνῳ] Cod. παντως εκεινο.

B. 4. εἴη ἄρθρον] Fol. 146 v.

B. 10. μαχόμενον] Deest fortasse ἑαυτῷ. Certe in codice patet, quo id recipiatur, spatium. Ad rem cf. de Syntaxi p. 74, 27.

C. 1. παρεγένετο] Exciderunt haec fere: ὡρισμένον δὲ τὸ ὁ ἄνθρωπος παρεγένετο. Eodem omissionis genere et alibi saepissime errarunt librarii et in libro de Syntaxi. Ut p. 154, 19. δυνάμει γὰρ ὁ λέγων οὕτως, τὸν ἐμὸν δοῦλον ἔπαισα, φησὶ τὸν ἐμοῦ δοῦλον ἔπαισα· ὅπερ etc. P. 131, 21. πάλιν μέντοι τὸ ἑξῆς ἐν τῷ καί τοι ἐγὼ συνέριθός ἐστι καγώ σοι συνέριθος ἔσομαι, δηλονότι ταῖς συμπαρούσαις ἐπὶ τοὺς πλυνούς. προφανὲς ὡς etc. Pag. 157, 7. ἔπεισέ με ὁ θυμὸς τῷ θάρσει τῷ ἐκείνου πολεμεῖν κατὰ τρόπον τὸν τῆς περιφράσεως, ἀνῆκέ με αὐτῷ πολεμεῖν· καὶ πάλιν etc. P. 225, 7. δύςληπτον ἐποίει τὸ ἀκατάλληλον. ἐδείχθη ἄρα καὶ διότι ἀκατάλληλον καὶ διότι λανθάνει. His locis quae maioribus litteris expressa sunt, ea ex codice addenda erunt.

C. 4. εἰ καὶ φήσειέ τις] Cod. εἰ καὶ φήσει τις. De Syntaxi p. 75, 5: εἰ ἐν παισὶν ἀτακτήσει παῖς. Ibi codex, ἀτακτήσειε.

Pag. 7. A. 6. δίῳ] Iliad. VII, 75.

A. 8. βριθομένη] Iliad. VIII, 307.

B. 3. ἔρχεται] Iliad. I, 120. Apollon. de Coniunct. fol. 98 v: τὸ γοῦν ὅ μοι γέρας ἔρχεται ἄλλη οὐκ ἂν ποτε ἀποδεξαίμην, καθό τινες ᾠήθησαν, ἄρθρον ἀντὶ συνδέσμου παρειλῆφθαι, μᾶλλον δὲ ἀποκοπὴν εἶναι τοῦ ὅτι.

C. 5. καθότι καὶ τὸ πηλίκος] Deest in cod. καθότι.

C. 7. τό τε τημοῦτος] Deest in cod. τε.

Pag. 8. A. 1. ὅδε] Cod. ωδε.

Ibid. ἀντωνυμίαι] Fol. 147 r.

A. 3. παραλαμβάνονται] Conf. de Syntaxi p. 116, 18.

A. 7. μεινάτω με] De Syntaxi p. 114, 14 et 301, 12. Mox cod. καὶ ἴσον το ουτως παρα A.

B. 9. ἓν μέρος] Deest ἕν. Ut de Syntaxi p. 28, 7. ἐν γὰρ τῷ ἄνθρωποι .... παριστάνει ἐκ τοῦ δηλουμένου πληθυντικὴν ἔννοιαν sic corrigendum: ἓν γὰρ ὂν τὸ ἄνθρωποι.

C. 2. σὺ γράφεις] Conf. de Syntaxi p. 17, 22.

C. 7. ὅτε εἰς τὴν αὐτός] Cod. οτε εισ το την.

Pag. 9. A. 1. προσέειπεν] Odyss. XIV, 36.

A. 3. οὐκ ἔστι] Cod. ουκετι. Similiter de Syntaxi p. 201, 23. ἔτι γε μὴν συνεκτικωτάτη αἰτία leg. ἔστι γε.

A. 8. τοῦ αὐτοῦ] Conf. de Syntaxi p. 65.

B. 8. τῷ αὐτῷ] Fol. 147. v.

C. 1. ἄρθρον τό] Articulus deest in cod. Ut aliquoties de Syntaxi. Sic enim scribendum p. 48, 8: καὶν τῷ τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. Et p. 75, 9: καθάπερ ἡ ἐπὶ τῶν κυρίων. Et p. 105, 2: τῶν δυναμένων τὸ πρᾶγμα ἀναδέξασθαι.

C. 9. ποιότητά τε] Deest particula.

Pag. 10. B. 8. ἵ, οὗ, οἷ, ἕ] Conf. Priscian. XII. p. 935. ed. Putsch.

C. 5. περιπατεῖ, τίς] Cf. de Syntaxi p. 106, 21. Priscian. XII. p. 934.

C. 9. περιπατεῖ Δίων] De Syntaxi p. 75, 10.

Pag. 11. A. 2. γοῦν] Cod. ουν. Illud repone etiam de Syntaxi p. 13, 10. 155, 20. 159, 29. Contra eadem in οὖν abibit p. 129, 11.

A. 3. Αἴας] Iliad. XII, 349 et 362. Cf. de Syntaxi p. 46, 23 et 80, 20.

A. 9. κῆρι] Fol. 148 r. Versus est Odyss. VI, 158. Cf. de Syntaxi p. 32, 8.

B. 5. ξυμβλήμενος] Odyss. XXIV, 260.

B. 10. Ὅτι δὲ κατὰ πτῶσιν] Cf. de Syntaxi 107, 6.

C. 4. ἐν παντὶ πτωτικῷ] In cod. deest praepositio.

Pag. 12. A. 1. τεύχεσιν] Iliad. XVIII, 518.

Pag. 13. A. 3. ἀδιάστολοι] Fol. 148 v.

A. 8. τὸ γὰρ ἐγώ καὶ σύ] Cf. Priscian. XII. p. 942.

A. 9. ὅτι καὶ αἱ] In cod. deest αἱ.

B. 5. Αἴτιον παραλαμβάνουσι] Cf. de Syntaxi p. 108, 22. 201, 1.

B. 8. τεκμηριοῦνται] Cod. τεκμηρονται. Quod posuimus, etiam infra in cod. legitur p. 111. B. 10.

B. 10. τῶν τριῶν γενῶν] In cod. deest articulus.

Pag. 14. A. 8. ἐμέο] Cod. ἐμὲ ὁ. Cf. de Syntaxi p. 102, 27. τὸ ἐμὲ, ἐπί τινα τὴν δεῖξιν ἀπήτησε, πρὸς ὃ συνετάθη. Cod. τὸ ἐμὲ, ἐπιτεῖναν τὴν δεῖξιν, ἀπήτησε πρὸς ὃ ἐπετάθη. P. 259, 13. εἴ τις ἂν τιθείη. Codd. tres: εἴ τις ἀντιθείη. Rursus p. 96,

7. εἰ μέντοι τὸ ὁ ἀντὶ τοῦ ὅστις θείη. Cod. εἰ μέντοι ἀντὶ τοῦ ὁ τὸ ὅς τις θείη.

B. 5. τί δ' ἂν φήσαιεν] In cod. desunt verba τί δ' ἄν.

C. 2. σημαινομένου] Fol. 149 r. Mox deest τήν post δυϊκήν.

Pag. 15. A. 2. ἀντωνυμίας] Cf. de Syntaxi p. 62, 25 et 28, 12. cum Prisciano XII. p. 938.

A. 7. ἐμέ] De Syntaxi p. 62, 25. Cf. Bastii Epist. crit. p. 268.

A. 10. Κροτωπιάδην] Vide Valcken. Callimachi Elegg. Fragmenta p. 283, cuius tamen parum probabilis est de redintegrando versu coniectura.

B. 3. τουτονί] Cod. εμετονϊ.

C. 9. κλῆσις] Cod. κλισις.

Pag. 16. A. 9. ἐπὶ τὴν ἐγώ] Post haec iterum cod. ὃς ἐποίησα. Cf. de Syntaxi p. 64, 21. Eiusdem modi multa sunt et in hoc codice et in editis Apollonii libris perperam iteratarum vocum exempla. Ut p. 76, 16. πάνυ εὐλόγως, εἴγε τὰ γινόμενα καὶ γεγονότα πάνυ εὐλόγως πρόδηλα. P. 200, 20: ἐφ' οὗ σχήματος ἔστι φάναι ὡς τὸ μὲν ἁπλοϊκόν ἐστι Φάναι ὡς. P. 229, 18: τό γε μὴν εἰδικώτατον καταγινέσθαι ἐν πατρωνυμικῇ ἐννοίᾳ. καὶ δῆλον ὅτι οὐκ ἂν θαῤῥήσειέ τις (vulg. θαῤῥήσει τις) φάναι μὴ εἶναι εἰδικώτατον ὄνομα, ὃ μή ἐστι πατρωνυμικόν. P. 335, 7: καὶ οὕτω τὸ

ἐξαίφνης ἀποτελεῖται· οὔτε δὲ τὸ ᾱ συγκόπτεσθαι ξένον, ἐπεὶ οὕτω τὸ ἐξαίφνης ἀποτελεῖται· οὔτε δὲ τὸ ᾱ ἔχει τὸ σπάργανον. Neque minus suspecti sunt ii loci, qui p. 106, 5 et 122, 28 leguntur; quorum altero expunxerim ἡ δεῖξις, altero τοὺς ἐπαγγελλομένους καί. Cf. notulas ad p. 19, A. 6. et saepius posthac.

B. 5. τὸ καὶ πάλαι γινωσκόμενον] Cf. de Syntaxi p. 70, 7.

B. 7. ἀκωλύτως] Fol. 149 v.

C. 1. ἀπρόςληπτοι] In codice est απρο...τοι. Cf. de Syntaxi p. 69, 28.

C. 6. κλητικῆς] Cod. κλιτικης.

Pag. 17. B. 1. ὑπακουομένου] Cod. επακουομενου.

C. 8. ἀναφορά] Cod. διαφορα.

C. 9. τὸν λόγον] Cf. de Syntaxi p. 66, 20.

Pag. 18. A. 2. ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ] Vix Graecum est, quod habet Priscianus XII. p. 938. ὁ ἐμὸς δοῦλος *id est* ὁ δοῦλος ἐμός.

A. 7. ὁ πατήρ] Fol. 150 r.

A. 9. οὐκ ἄλλος] Cod. αλλως.

B. 6. εἴγε καὶ συσχηματίζεται καὶ εἰς] Delendum puto alterum καί, ex praecedente syllaba enatum, ut factum est locis veterum multis, quae adhuc egent emendatione.

C. 5. ὅτι τῆς ἀντωνυμίας] Cod. ὁτι και της ἀντ.

C. 8. φαμὲν γοῦν] Cod. φαμεν ουν. Cf. de Syntaxi p. 67, 30.

Pag. 19. A. 6. ὁ φίλος ὁ τούτου] Cod. iterato ο ἐκεινου.

C. 7. ἵνα διασταλῇ τὸ γένος] Oportebat ἵνα διεστάλη, quo tamen modo certum est non scripsisse Auctorem, quippe cui ἀσύστατον τὸ ἵνα ἀνέγνων de Syntaxi p. 269, 29. Quin etiam optativum nonnisi figurate iungi censet in libro de Coniunctionibus, plane sicut Lesbonax p. 186: ἄλλο Ἀττικόν· τῷ ἵνα μορίῳ Ἀττικὰ μόρια ἀντὶ ὑποτακτικοῦ (leg. τῷ ἵνα μορίῳ εὐκτικὸν ῥῆμα συντάσσουσιν ἀντὶ ὑποτακτικοῦ) οἷον ἵνα θύσαιτε. Itaque de Syntaxi p. 108, 31 reponendum ex codice: ἵνα ἑκάστου τὸ χαρακτηριστὸν ἀπονείμῃ pro vulg. ἀπονέμοι.

C. 8. τὸ γένος διαστελλούσαις] Fol. 150 v.

Pag. 20. A. 3. παραλαμβάνεται] Cod. παραλαμβανονται, structura non inusitata Apollonio, sed h. l. minus apta.

A. 6. ἀῤῥενικῶν καὶ οὐδετέρων] Sic codex. Sed corrigendum ἀῤῥενικὸν καὶ οὐδέτερον. Cf. de Syntaxi p. 28, 21 et 57, 29.

A. 10. κτήτορος] Cod. κτητωρος, frequens mendum.

B. 5. δὶς πληθυντικαὶ ἐν τῷ ἡμέτεροι] Cf. de Syntaxi p. 256, 11. Priscian. XII. p. 952.

B. 9. κατὰ κλίσιν] Cod. κατα κλησιν.

C. 6. οὐκέτι, αἵ γε συνήθεις] Cod. ουκετι ασυνηθεις. Cf. p. 146. A. 6: Δύο εὐθεῖαι οὐδέποτε θέλουσι συντάσσεσθαι ἐν ταῖς συντάξεσι τῶν ῥημάτων, ἀλλὰ πλάγιος καὶ εὐθεῖα, ἔν γε ταῖς ἐν μεταβάσει ἐχούσαις τὸ ἕτερον πρόσωπον.

Pag. 21. A. 4. τὸν δυϊκόν] Cod. των δυικων.

A. 6. καὶ μαχόμεθον καὶ μαχόμεθα] Cod. και μαχεσθον και μαχομεσθα. Quod perinde est ac si mox ponas: ἐγώ τε καὶ σφῶϊ καὶ ἄμμες.

A. 9. κἂν ἐν πλείοσι νοῶνται] Cod. και εν π. νοειται. Similiter de Syntaxi p. 102, 8 corrig. κἂν ῥήματος ἰδίωμα παρεισδύνται.

B. 2. ἐπενοήθη] Cod. επηνοηθη.

B. 3. μετὰ τὸ δυϊκόν] Fol. 151 r.

B. 4. λέγουσιν οἱ ἄνθρωποι] Haec codicis scriptura est. Corrig. λέγουσιν ἢ ἄνθρωποι.

B. 7. εἴγε ἐκεῖνος] Hoc quoque vitiatum sic corrige: ἤτε ἐκεῖνος. Ad rem cf. de Syntaxi p. 104, 28. Priscian. XII. p. 933. ima.

B. 8. ὁ δεῖνα] Cod. ὁδινα.

Pag. 22. B. 3. ἐν δὲ τῷ πρὸς ὃν ὁ λόγος] Fortasse: ἐν δὲ τῇ περὶ τοῦ πρὸς ὃν ὁ λόγος. Priscianus: *Secunda quum de ea pronunciat, ad quam directo sermone loquitur.*

B. 8. καὶ τὸ τρίτον περί τινος] Cf. de Syntaxi p. 257, 1. Priscian. XII. p. 940.

C. 1. τὸ δεύτερον καὶ τὸ τρίτον] Expungendi forsan sunt articuli.

Pag. 23. A. 1. ὡς ἡ ἐν τοῖς ἑνικοῖς] Fol. 151 v.

A. 4. σύλληψιν ἀναδέχεται ἑτέρων προσώπων] Cf. Priscian. p. 941.

C. 8. Σθένελός τε] Iliad. IX, 48.

Pag. 24. A. 1. τῷδ' ἀνδρί] Iliad. V, 219. Cod. τον ανδρι.

A. 3. ἅρμασι] Iliad. VIII, 416.

A. 5. αὖθι] Iliad. XII, 366.

A. 8. σὺ καὶ κρατερός] Cod. και ὁ κρ.

A. 9. κἂν πλῆθος παρεμφαίνηται] Addendum fortasse, quod expressit Priscianus, *nos fecimus.*

C. 3. ἐφ' ἵππων] Iliad. V, 249. Cf. de Syntaxi p. 252, 28.

C. 5. ἄνδρας κτείνωμεν] Fol. 152 r. Iliad. VI, 70.

C. 7. ὑποτιθεμένων ἑαυτοὺς καὶ συλλαμβανόντων] Fortasse, ὑποτιθεμένων ἑαυτοῖς καὶ ἀλλήλους συλλαμβανόντων.

Pag. 25. A. 3. τίνα τε ἐν κτητικαῖς] Cf. de Syntaxi p. 218, 8 et 252, 5. Priscian. XII. p. 939. XIII. p. 953.

A. 10. εἵνεκ' Ἀχαιοί] Odyss. IV, 145. Cf. de Syntaxi p. 32, 16.

B. 5. στρατείαν] Cod. στρατιαν.

B. 7.

B. 7. οὗτος] Cod. ουτως. Koen. ad Gregor. Corinth. p. 48. A. οὗτος, καθεύδεις; B. οὐκ ἀναστήσεις βοῶν.

B. 9. οὗτος] Vesp. 1. Hic quoque cod. ουτως, ut et mox imo, ουτως ορθως.

B. 10. ὠλιγωρῆσθαι] Cod. ωλιγορησθαι.

C. 9. ἐπὶ κλητικῆς] Cod. ἐπι κλησεως.

Pag. 26. A. 3. ἐκπίπτει γὰρ τῆς τῶν ἄρθρων ἐννοίας] Cf. de Syntaxi p. 51 sqq. Priscian. XIII. p. 962.

A. 8. φίλος] Odyss. XVII, 415.

B. 4. Κρονίδη] Odyss. I, 45.

B. 5. ἐμοί] Odyss. III, 475.

B. 6. ἄγκυραι] Callimach. Fragm. XCVII. Cf. de Syntaxi p. 219, 16.

B. 7. οὐ καθάπερ] Deest οὐ, quod et alibi omissum est a librariis. Ut de Syntaxi p. 22, 26, ubi ex codice et ex Prisciano scrib. ὅπου γε οὐκ ἀπ' ἰδίας ἐννοίας τὴν ὀνομασίαν εἴληχεν. Item 56, 13. e coniectura nostra: ἔστι πιστώσασθαι καὶ τοῦ οὐδετέρου, ἀρξαμένου μὲν ἀπὸ τοῦ τ̄, λήξαντος δὲ εἰς ō, οὐ καθὸ ἀπῄτει ὁ παρασχηματισμὸς τῶν εἰς ος̄ ληγόντων ἀρσενικῶν. Negationem in loco p. 270, 32 addunt duo codices: Δωριεῖς οὐ περισπῶσι τοὺς ὑποτακτικοὺς μέλλοντας. Contra delenda est negatio p. 94, 25.

B. 10. τὸ κατὰ τὸ ἄρχον] Fol. 152. v.

C. 2. εἰ γοῦν] Cod. ηγουν. De Syntaxi p. 63, 3: ἦν καί. Cod. εἰ οὖν καί.

Pag. 27. A. 3. καθὸ ἀμφότερα δύο τρίτων παραστατικά] De Syntaxi p. 19, 22: ὡς ἂν δὴ τρίτων συνόντων. Scrib. ὡς ἂν δύο τρίτων συνόντων. Codex unus, ὡς ἂν μὴ τρίτων σ., ubi librarium decepit ea literae β forma, quae non multum differt a μ.

A. 9. θύγατέρ τε] Odyss. XIX, 406. Cf. de Syntaxi p. 221, 12. Priscian. XIII. p. 954.

A. 10. οὕτως ἂν ἀντὶ τοῦ ἐμέ] Sententia fere poscit: ὃν γὰρ τρόπον γαμβρός εἶπεν ἀντὶ τοῦ γαμβρέ, οὕτως ἐμός ἀντὶ τοῦ ἐμέ. Confusae hae praepositiones etiam alibi. Ut Apollon. Lexico Hom. v. Κατηφείη, ubi scrib. ἀντὶ τοῦ κάτω — et v. Γόνος, ubi ἀντὶ τοῦ τὸ ἐμὸν γένος.

B. 6. καὶ πότε οὐ] Cf. de Syntaxi p. 121.

C. 3. Τινὲς μὲν οὖν ὑπέλαβον] Cf. de Syntaxi p. 121, 28. Priscian. p. 938.

C. 7. ἐγὼ μὲν παρεγενόμην] In cod. deest μέν.

Pag. 28. A. 8. ἀχνύμενοι] Odyss. X, 570.

A. 10. ἔτυχες] Iliad. V, 287.

B. 1. ἡ χρῆσις τοῦ βίου] Id est ἡ ἀνὰ χεῖρα ὁμιλία (De Syntaxi p. 42, 12), ἡ κοινὴ φράσις (p. 112, 11), ἡ κοινὴ χρῆσις (p. 252, 29), τὸ κοῖνον ἦθος (p. 185, 14),

ὁ συνήθης λόγος (p. 127, 27), ἡ συνήθεια (p. 318, 13), τὸ σύνηθες p. 136, 14: qui locus hac est interpunctione iuvandus: ἵνα καὶ τὰ λεληθότα τῶν ὑπερβατῶν, ὄντα καὶ κατὰ τὸ σύνηθες, ἔχηται τοῦ ἀκολούθου.

B. 1. τοῦ βίου] Fol. 153. r.

C. 3. κατὰ τὸ πρῶτον] Articulus in cod. deest.

C. 7. ἡ συστολή] Ita cod. quidem, sed scribendum ἡ συμπλοκή.

Pag. 29. A. 3. δι' οὗ τὸ λειπόμενον ἀναπληρωθήσεται] Cf. de Syntaxi p. 126, 1.

A. 9. εἴγε αὐτοῦ ταῦτα ἴδια] Cf. de Syntaxi p. 18, 11. et 106, 25.

B. 2. δῶκα] Odyss. IV, 649.

B. 3. πῶμα] Odyss. VIII, 443.

B. 4. ἀντιδιασταλτική] Cod. ἀνταδιασταλτικη.

Pag. 30. A. 2. ἀντ' αὐτῶν] Fol. 153. v.

A. 3. ἄλλας πτώσεις] In codice est ... σεις.

A. 4. τὴν κλητικὴν ἐν δευτέρῳ] Cf. Priscian. XIII. p. 963.

A. 6. ἀπερειδόμενος] Cod. επερειδομενος. Ita de Syntaxi p. 68, 5: καὶ ἡ γενικὴ ἐπέχει τὸ ἴδιον ἄρθρον. Cod. ἀπέχει. Item p. 162, 17 ex codice scrib. ἀλλ' ἴσως οἰήσεταί τις τὰ τῆς ἀποδείξεως ἐντελῶς μὴ ἀπέχειν. Eodem modo peccatum in Apollon. Lexico, vv. Αὐλῶπις et Πανόψιον.

C. 3. πελώριος] Iliad. III, 229. Cf. de Syntaxi p. 26, 17.

C. 4. οὐ γὰρ μόνον τῷ] Cod. το.

Pag. 31. A. 6. νῆας] Iliad. X, 82, tum 88. Cf. de Syntaxi p. 79, 20. Priscian. p. 942.

B. 3. δίῳ] Iliad. VII, 75.

B. 6. μήστωρα] Iliad. VIII, 22. Cod. ἐρυσετ᾽ et μηστορα.

C. 4. Οὔτιν ἐγὼ π. ἔδομαι] Odyss. IX, 369. Cod. οὔ τιν᾽, accentibus recentiore manu adscriptis.

C. 5. δεύτερον αὐτὸ ἔτρεψε] Fol. 154 r.

Pag. 32. A. 3. ἐν τρίτοις νοεῖσθαι] Delendum est incisum.

A. 8. ἕν τι, τὸ δὲ προσηγορικόν] Cod. ἑντι οστο δε προσηγορικῶν.

B. 1. τοῦ Τρύφων ἢ Δίων] Cf. de Syntaxi p. 80, 9 et 117, 30.

Pag. 33. A. 4. αὐτον] Iliad. XII, 204.

A. 5. περίκειται] Iliad. IX, 321.

B. 6. ἐκ τοῦ παρὰ Δ.] Cod. εκ του μη παρα Δ. Excidisse videtur τὴν γενικήν. Mox pro typothetae vitiis repone παίδων, πάντων, Τρώων.

B. 8. οὐσίαν] Fol. 154 v.

B. 10. οὐσίας ὂν μόνον παραστατικόν, ἀντωνυμία] Cf. de Syntaxi p. 24, 9 et 79, 31. Priscian. XIII. p. 970.

C. 3. τῷ τίς οὖν τὸ ἐγώ] Cf. de Syntaxi p. 79, 14. Paullo ante τε abest a codice inter τῷ et πότε.

C. 4. μᾶλλον] Nonne potius μᾶλλον δεῖν vel μᾶλλον ἄν?

Pag. 34. A. 3. ὅ τε λέγων] Cod. ὁ δε λεγων.

C. 5. τῷ δὲ τίς] Cod. το δε τις.

Pag. 35. A. 6. ἀντωνυμία] Fol. 155 r.

B. 3. πῶς οὖν ὁ τίς καὶ ἡ τίς] Cod. ὁτισ και ητισ. At scribendum ὅστις καὶ ἥτις. Cf. Priscian. XIII. p. 960.

B. 4. ἀντωνυμίας] Cod. αντωνυμια. Mox corr. οὐδεὶς ἡμῶν.

B. 10. οὐ περισπᾶται] Negatio in cod. deest.

Pag. 36. B. 5. ἡ εις ᾱ] Deest ἡ, uti ἤ de Syntaxi p. 109, 25. ante verba, εἰς τὴν ὑποκειμένην. Mox in cod. est ω̄ pro ō.

B. 6. τοῦτο] Cod. τοιουτο.

B. 10. συνθέτῳ ταὐτόν] Fol. 155 v.

C. 1. ὡς τὸ πηλίκος καὶ τὸ οὗτος] Cod. ὡς ..... και τα ουτος. Et mox οὐ deest ante μᾶλλον.

Pag. 37. A. 1. τὸ αὐτό] Cf. de Syntaxi p. 189, 7. Priscian. XII. p. 950.

A. 7. κατὰ γένος καὶ κατὰ τόνον] Cf. de Syntaxi p. 60, 25.

C. 2. αἱματηρόν] Cf. de Syntaxi p. 190, 26. et ad τὸ φαιδιμόεντες Schol. Veneta ad Iliad. XIII, 686.

C. 6. ὅπερ καὶ σύγκειται] Fortasse εἴπερ καὶ σύγκειται.

Pag. 38. A. 7. τηλικοῦτον εἶναι τὸν Νεῖλον] Cf. Priscian. XIII. p. 972.

A. 9. εἰς ἕν τι μέγεθος] Fortasse εἰς ἓν τὸ μέγεθος.

B. 2. ἴσως δὲ καί] Fol. 156 r.

B. 9. ὅπερ ὄνομα] Margini adscriptum: τουτέστι τὸ ἴσος.

C. 2. καὶ ΥΜΕΔΑΠΟΣ] Cod. ἡ ὑμεδαπος, et statim του πεδου η εδαφους.

Pag. 39. A. 4. ἡμεδαπεδός] Cod. ημεδαπος.

A. 7. δεκτικόν] Cod. δεικτικόν.

B. 5. νῦν δέ] In codice deest δέ. Cf. de Syntaxi p. 28, 25 et 234, 6.

B. 8. προσώπων] Cod. προσωπων τε.

B. 10. σημαινόμενον] Cod. συντιθεμενον.

C 1. συμβολικῶς λαμβάνηται] Margo: συμβολικῶς] τουτέστι κυρίως. Cf. de Syntaxi p. 188, 8 et Ammonium p. 58. Cuius ibi mendosa sunt haec: ἔστι μέν τοί γε ὅτε οὐχ οὕτως ἀλλ' ἑτέρως ἀποκρινόμεθα πρὸς τὰς ἐρωτήσεις· οἷον· ἡμέρα ἐστίν, καὶ οὕτως· ἡμέρα ἐστὶν ἡμέρα, καὶ οὕτως, ἡμέρα ἐστίν. Scripserat autem sic: οἷον, ἡμέρα ἐστίν; ἔστιν, καὶ οὕτως· ἡμέρα ἐστίν; ἡμέρα, καὶ οὕτως· ἡμέρα ἐστίν; ἡμέρα ἐστίν.

C. 8. τοῦ ἐφ' ᾧ ποθεῖ] Fol. 156 v. Mox cod. αἱ δε συνθεσεισ.

Pag. 40. A. 4. ὁμοίως τῷ τηλεδαπός καὶ παντοδαπός] Cf de Syntaxi p. 191, 4: τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ἡμεδαπός ἐθνικῶς παραχθὲν μετὰ τοῦ σημαινομένου καὶ τὴν παραγωγὴν ἔσχε συντρέχουσαν τῇ μεταλήψει τοῦ ὀνόματος. Ita codex, integra sententia, quae manca est in vulgata lectione.

A. 9. χρῆν γὰρ σφεδαπός] Cf. de Syntaxi p. 191, 11.

C. 2. ἄπειρα γάρ] Cod. απειρα δε.

C. 5. κλητικήν] Cod κλιτικην.

Pag. 41. A. 1. ἐς δευτέρου προσώπου γένεσιν μεθίστασθαι] Cf. Priscian. XIII. p. 954 et 972.

A. 3. ἀντωνυμίαι] Cod. αντωνυμια.

B. 3. ἑνικῆς περισπῶντες] Fol. 157 r.

C. 7. ἔχοντα] Iliad. XII, 204.

C. 9. ἐπιτάσσεται] Cod. υποτασσεται.

Pag. 42. A. 3. τὸ δ' ἀλλήλους] Cod. το δ' ἐπαλληλους. Ut in Apollonii Lex. ἐπήτριμα ἀλλ' ἐπ' ἀλλήλοις aut ἄλλα ἐπ' ἄλλοις corrigendum aut ἀλλεπάλληλα. Cf. ibi Προθελύμνους ἄλλας ἐπ' ἄλλαις et Προκρόσας ἄλλας ἐπ' ἄλλας. At Ἀγχηστῖνοι συνεχῶς καὶ σύνεγγυς ἀλλήλων, οἷον ἀλλεπάλληλαι.

A. 8. οὐδεὶς τῶν ἄλλων παρεγένετο] Cf. de Syntaxi p. 83, 4.

A. 10. ὑπερ τοῦ τὸν λόγον] In codice deest λόγον. Cf. infra p. 61. C. 5. ὑπὲρ τοῦ μὴ ἐπὶ πλέον προάγειν τὸν λόγον. Item p. 143. C. 6. et de Syntaxi p. 269, 1.

C. 3. τὸ οἰμώζειν] Cod. το οιμωζει.

Pag. 43. A. 1. ὑποκρινομένου] Cod. αποκρινομενου.

A. 4. τοῦτο γὰρ ἦν] Fol. 157 v.

A. 5. ἔμφασιν δηλοῦν] Cod. εμφασιν δ....

A. 7. δειλός] Odyss. V, 299.

A. 8. ἃς μὲν ὀρθοτονεῖσθαι] Cf. de Syntaxi p. 102, 31. Priscian. XIII. p. 965.

B. 5. ἢ κατὰ τὸ τέλος] Cod. ως επι των η κατα τ. τ. Cf. supra ad p. 16. A. 9. Quales verborum falsae repetitiones admodum frequentes sunt. Ammonius p. 38: Γυμνασία μὲν λέγεται ἡ τῶν γεγυμνασμένων ἄσκησις, ἄσκησις δὲ ἡ τῶν λεγόντων καὶ σκηνικῶν. Et p. 39: δεσπότης μὲν γὰρ ὁ τῶν ἀγυρωνήτων κύριος, κύριος δὲ καὶ πατὴρ υἱοῦ καὶ αὐτός τις ἑαυτοῦ. In his per errorem bis positum esse illic ἄσκησις, hic κύριος, multis aptisque evincitur exemplis. P. 45: δοῦλοι μέν εἰσι καὶ οἱ τῶν ἡδονῶν, οἰκέται δὲ δεσποτῶν. P. 59: ἐρᾶν μὲν γάρ ἐστι τῶν ἐν ὄψει, ποθεῖν δὲ τοὺς ἀπόντας. P. 63: εὐφραίνεσθαι μὲν γάρ ἐστι μανθάνοντα καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δὲ ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι. P. 65: ζώνη μέν γάρ ἐστιν ἡ τοῦ ἀνδρός, ζώνιον δὲ τὸ τῆς γυναικός. P. 68: θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος, θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων. P. 76: ἱστοπέδη μὲν γάρ ἐστιν,

ἐφ' ἧς ὁ ἱστὸς κατακλίνεται. P. 91: μαστὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος, μαζὸς δὲ ἀνδρεῖος. Et: μαρτυρία μὲν γάρ ἐστιν ἡ τῶν ἐπιδημούντων, ἐκμαρτυρία δὲ ἡ τῶν ἀποδημούντων. P. 108: παρειαὶ μὲν γὰρ αἱ τοῦ ἀνθρώπου. P. 109: παραβολὴ μὲν γάρ ἐστιν ἡ οἷά τε γενέσθαι ἐπὶ παραδείγματος (leg. ἡ οἵου τε γενέσθαι ἔτι πράγματος; nam infertur: παράδειγμα δὲ γεγονότος πράγματος ἀντιπαράθεσις). Recte igitur Thomas p. 442: Θεσμὸς ὁ ἄγραφος, νόμος δὲ ὁ ἔγγραφος.

B. 7. τοῦ τονικοῦ οὐκ ἐμποδίζοντος] Fortasse, τοῦ τυπικοῦ. Ita supra p. 35. B. 9. διὰ τὸν τύπον. Cf. de Syntaxi p. 126, 25: εἴγε μὴ τὸ τῆς φωνῆς ἰδίωμα ὑπεξέληται τὸ διτονῆσαι. Ubi vulgo legitur: ὑπελέληται τὸ διττόν, οὐ ναυθήσεται.

B. 8. τίς τάρ σφωε] Iliad. I, 8.

C. 2. καὶ τῶν μόνως] Cod. και διὰ τῶν μ.

C. 8. μόνως εἰσὶν ὑποτακτικαί] Cf. de Syntaxi p. 135, 21.

Pag. 44. A. 3. ἐμοὶ γὰρ ἔδωκας, ἔδωκας ἐμοί] Aptius videbitur, ἐμοὶ γὰρ ἔδωκεν, ἔδωκ' ἐμοί.

A. 6. ὃν τρόπον] Cod. ὧ τρ.

A. 9. Τυδείδης] Odyss. IV, 280.

B. 1. πρὸ ἑαυτοῦ] In codice deest πρό. Posthac p. 54. A. 9. ἐγκλιτικὸς ὢν τὴν πρὸ αὐτοῦ λέξιν ὀξύνει.

B. 7. προΐει] Iliad. I, 336. Cf. de Syntaxi p. 166, 26.

B. 9. τῷ ὃς ὑμᾶς] Cod. το ος υ. Ut Apollon. Lex. v. Δυσηλεγέος: ὅταν μὲν λέγει τὸν θάνατον, τοιοῦτον σημαίνει μακροκοίμητον· ὅταν δὲ ἄλλως καταστρέφει εἰς ταὐτόν, τὸ κακοκοίμητον. Corr. ὅταν μὲν λέγῃ τὸν θάνατον τοιοῦτον, σημαίνει τὸν μακροκοίμητον· ὅταν δὲ ἄλλως (vel potius ἄλλο τι), καταστρέφει εἰς ταὐτὸν τῷ κακοκοίμητον. Cf. v. Ἀμφίβασις: καταστρέφει δὲ εἰς τὸ ὑπερμαχεῖς. Ἀνόρουσεν: καταστρέφει δὲ εἰς τὸ ἀνέτειλεν. Ἄσπετα. Ἐριγδούπου: καταστρέφει δὲ εἰς ἴσον τῷ ἠχήσσης. Οὔνεσθε. Ἐύσκαρθμοι: καταστρέφει δὲ εἰς τὸ πολεμικῆς. Κρηδέμνῳ: καταστρέφει δὲ εἰς αὐτὰ τὰ τείχη. Ὀρέξατο: ὥρμησεν· οἱ δὲ δίεβη εἰς τὸ καταστρέφειν, ubi corr. οἱ δὲ δίεβη, ὃ εἰς τὸ αὐτὸ καταστρέφει. Qua verbi potestate et alii posteriorum utuntur et Strabo, ut I. p. 20 et p. 65, ubi corrigendum est καταστρέφοι, ac deinceps: ἔτι δὲ παχυμερέστερον τὸ φήσαντα (vulg. τὸν φ.) μὴ ὁρᾶν· εἰς τί (vulg. εἴς τι) πραγματικὸν καταστρέφει τὸ τοὺς ὅρους ζητεῖν, παραθεῖναι etc.

C. 2. λύσομαι] Iliad. X, 378. Mox post καί deest τό.

C. 4. παῖδα] Iliad. V, 800.

C. 5. οὐδέποτε] Fol. 158 r.

C. 8. αὐτῷ] Odyss. XXIII, 253.

Pag. 45. A. 5. ἐκωλύετο τὸ μοί] Cod. μου. Respicitur ad ὤμοι.

A. 7. ἑαυτῷ] Malim ἑαυτόν.

B. 8. Ὀρθοτονοῦνται μόνως αἱ τῆς εὐθείας] Cf. de Syntaxi p. 125, 4.

C. 1. παράγωγο] Ita codex. Sensus postulat παράστασις vel aliquid simile.

C. 7. ἡ δεῖξις] Cod. ἡ ενδειξις.

Pag. 46. A. 2. ὀξύνουσιν, ἐκεινοσί, οὑτοσί] Cf. de Syntaxi p. 105, 9 et 139, 26.

A. 4. τῷ μὴ τὴν αὐτός ἐπεκτείνεσθαι] Cod. τὸ μὴ τ. α. ἐκτείνεσθαι.

A. 7. μόνως ὀρθοτονοῦνται] Cf. de Syntaxi p. 141, 19.

B. 1. αἱ πρωτότυποι γένους] Cf. de Syntaxi ibid.

B. 9. ὡς ἡ δεῖξις] Fol. 158 v. Mox in codice deest λέγειν.

C. 9. αὐτῷ] Odyss. IV, 667.

Pag. 47. A. 2. αὐτόν] Odyss. VIII, 396.

A. 7. παρέλκεται] Alias παρέλκει, nam promiscue nonnumquam activo et medio uti videtur. Ita παραστήσασθαι de Syntaxi p. 60, 24; contra παραστῆσαι p. 135, 21 et 115, 6; εὑρέσθαι p. 184, 10: contra εὑρεῖν p. 175, 9.

A. 8. αὐτόν] Iliad. XXI, 318. Alter versus non alius videtur esse quam Iliad. XXIV, 472, etsi ibi legitur ἐν, non ἠδέ vel ἠέ, idque recte.

B. 3. ἀνταναπλασθήσονται] Cod. ἀναπλασθησονται.

B. 6. πάσης πτῶσεως ὀρθοτονοῦνται] Cf. de Syntaxi p. 139, 28.

C. 6. πάλιν μόνως ὀρθοτονοῦνται] Cf. de Syntaxi p. 139, 24.

C. 8. τὴν ἐμέο] Cod. την εμε.

Pag. 48. A. 4. ἐμεῖο, σεῖο, εἶο] Cf. de Syntaxi p. 137, 16.

A. 5. ὅτι δὲ τὸ λεγόμενον ἀληθές, σαφὲς ἐντεῦθεν] Cod. ὁτι γαρ το λεγ. αληθες ἐντευθεν.

B. 6. ἐγκλινόμενον διαφέρει] Fol. 159 r.

C. 1. ὀρθοτονοῦνται] Addendum putem αἱ σύνθετοι.

C. 3. Ὁμοίως καὶ αἱ τῷ ᾱ] Cod. Ομοιως και αι το ᾱ.

C. 7. ὅτι οὐδεμία] Cod. οτι ουδεμιας.

Pag. 49. A. 6. ἥ τε διὰ τοῦ τ̄ τοί] Cod. αἱ ται δια του τ̄ ται. Cf. de Syntaxi p. 136, 1. Similiter depravatum Pindari fragm. laudatum ibid. p. 142, 17. ubi leg. αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας ἔςδεξαι τεμενοῦχον. Vulgo, ἐςδέξεται μενοῦχον.

B. 3. ἴσχει] Iliad. V, 812.

B. 6. προςέειπεν] Odyss. XI, 91.

B. 8. Αἰακίδαο] Odyss. XI, 471.

C. 2. ἐπί τι προκείμενον μεταθέσθαι] Cf. de Syntaxi p. 135, 26.

C. 4. δόμεναι] Odyss. XXI, 233.

Pag. 50. A. 1. Τὸ πρός τι λαμβάνε-

σθαι] Cf. de Syntaxi p. 126, 27. Mox τὸ deest ante ἀντιδιασταλτικῶς.

A. 3. ἐμοί] Iliad. IV, 63.

A. 4. ψυχὴν] Iliad. XXIV, 754.

A. 10. ἐχρῆν ἥπερ αὐτόν] Cf. de Syntaxi p. 137, 4.

B. 1. ὁρῶντος αὐτόν] Fol. 159 v.

B. 3. μᾶλλον ἢ ἐμοῦ] Cf. de Syntaxi p. 137, 12. Paullo ante in codice est τουτο pro τούτῳ.

C. 1. ἀγόρευσον] Odyss. IV, 645 et alibi.

C. 4. φίλησεν] Iliad. IX, 481. Cf. de Syntaxi p. 127, 14.

Pag. 51. A. 1. ἐγὼ σέ] Iliad. XXIII, 724. Cf. de Syntaxi p. 131, 27. Codex, εἴ μ' ἀνάειρ'.

A. 4. τῆμῇ, τῳμῷ] Prius in cod. est τημεν. Iliad. IX, 654. XI, 608.

A. 8. ἐν ὑπερβατῷ] Cod. καὶ ἐν ὑπερβατῷ.

A. 9. ἀνάειρέ με] Cod. ἀναειρον με.

B. 4. ἢ διεζευγμέναι εἰσίν] Cf. de Syntaxi p. 127, 15.

B. 6. Τὰ τοιαῦτα δεῖ διακρούεσθαι] Deest in codice δεῖ.

C. 4. πάλιν ἡ ἐπιπλοκή] Cod. παλιν ην ἐ.

Pag. 52. A. 1. καὶν πάντως] Cod. καὶ πάντως.

A. 5. ἥτις ἐνέλειψεν] Fol. 160 r.

B. 1. ῥήματος διάθεσιν ἀναδέχονται] Cf. de Syntaxi p. 143, 3.

B. 3. λελασμένον] Iliad. XIII, 269. Cf. de Syntaxi p. 143, 27. Cod. ἐμε φησιν.

B. 5. ἐοικότα] Iliad. V, 800. Cod. η οι ολιγον π. ε.

B. 7. λύσομαι] Iliad. X, 378. Cf. de Syntaxi p. 143, 28. Priscian. XIII. p. 966.

B. 8. καὶ ἑαυτῷ] Cod. και ἐμαυτω. Mox, ουκ αλλος.

C. 4. Ἀμύντας] Theocrit. VII, 2. Cf. de Syntaxi p. 131, 30.

C. 8. καί με ἐνεκλίναμεν] Cod. repetit πάλιν post με. Cf. de Syntaxi p. 115, 18.

Pag. 53. A. 4. παῖδα] Iliad. V, 800. Cf. de Syntaxi p. 147, 11.

A. 6. ἕκαστος] Iliad. XXIII, 203. Cod. καλεονται μιν.

A. 8. ὡςεὶ νόμον θεμένους] Ammonius p. 136: Τίθησι γὰρ τὸν νόμον ὁ νομοθέτης, τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ αἱρούμενοι. Malim, οἱ δοκιμάζοντες.

A. 10. ἤδη] Iliad. V, 64. Cf. de Syntaxi p. 148, 25. ubi legendum, κατὰ τρόπους πλείονας δυνάμενον κατωρθῶσθαι.

B. 6. ὃς καί] Cod. ως και. Paullo post deest αἵ, non item de Syntaxi p. 149, 14.

C. 1. βίην] Odyss. IV, 668. Cf. de Syntaxi p. 141, 32 et p. 149, 27.

C. 6. ὡς οἱ ταλαιπωρότερον] Fortasse, ὡς ἀταλαιπωρότερον. Cod. ταλαιπορωτερον.

C 9. ἀνταναπλᾶσθαι] Cod. αναπλασθαι, et mox ἐδειχθησαν pro ἐδείχθη.

Pag. 54. A. 3. προέειπεν] Odyss. XI, 91. Cf. de Syntaxi p. 149, 5.

A. 5. ὁμοίως τῷ] Fol. 160 v. Sequens versus est Iliad. V, 832.

A. 7. ἐπιτασσομένη] Cod. ὑποτασσομενη.

B. 6. ἕπλετο] Iliad. XV. 227. Cf. de Syntaxi p. 147, 25.

B. 7. οἷ αὐτῷ] Odyss. XXII, 214. Cf. de Syntaxi p. 147, 3.

B. 10 ἐπέοικε] Iliad. IX, 392. Cf. de Syntaxi p. 148, 14.

C. 3. ἀνάγκη] Odyss. XVII, 441. Cf. de Syntaxi p. 148, 19

C. 9. θάνατον] Odyss. XXII, 14.

Pag. 55. A. 3. αὐτῷ κατασκευάσειεν ἐν πολλοῖς] Aut addito ἄν opus est, ni fallor, aut certe futuro κατασκευάσοι.

A. 5. πρόσθε ἔθεν] Cod. προςθεν ενθεν. Cf. Priscian. p. 966. Versus est Iliad. V, 56 et 80.

A. 9. τουτέστιν ἀνταναπλωμένων] Cf. de Syntaxi p. 150 sqq.

B. 1. ἦ ἐν μεταβάσει] In codice deest ἤ. Ita de Syntaxi p. 123, 12: ναί, ἦ γράφω. Cod. ἦ ναί, ἦ γράφω.

B. 9. Φήμιος] Cod. Φημί· ὅς. Cf. Priscian. l. l.

C. 7. ἀρχαϊκώτερα ὄντα] Haec ipsa verba restituenda sunt de Syntaxi p. 143, 29.

C. 9. εἷς καί] Cod. εἷς γάρ. Quae particularum commutatio et alibi turbas fecit et admodum magnas in Ammon. p. 37, quem locum, relegatis ad marginem lemmatis, sic constituerim: Στοιχεῖον μὲν γάρ ἐστιν αὐτὴ ἡ ἐκφώνησας καὶ ὁ φθόγγος, οὗ τὸ γράμμα σημεῖον ἢ τύπος, ὡς ἐν τῷ· τρίγωνον μὲν ΓΡΑΜΜΑ ἐστὶ τὸ Δ, στρογγύλον δὲ τὸ Ο. τὸ δὲ στοιχεῖον ... καὶ τὰ λοιπά· καταχρηστικῶς γράμματα καὶ τὰ συγγράμματα ἐκάλουν οἱ παλαιοί.

P. 56. A. 7. τὰς μὲν οὖν] Fol. 161 r.

B. 6. διὰ τὸ τοὺς ποιητάς] Cod. δια τουτο τους π.

B. 9. ἐπὶ ταὐτόν, μεταλαμβάνειν] Cod. επαυτο. Mox corrigendum fortasse, τὰ τῶν ἀντωνυμιῶν ἀσυνήθη ἢ εἰς σύνθετον.

C. 7. εἴσκεις] Odyss. XIII, 313.

C. 9. αὐτῷ] Odyss. XXIII, 253.

Pag. 57. A. 2. αὐτῆς] Odyss. XXIII, 78.

B. 3. αὐτῷ] Iliad. XVI, 12. Cf. de Syntaxi p. 141, 20. Cod. ἠδ' ἐμοι αυτῳ.

B. 4. μελέτω] Iliad. XV, 231.

B. 5. αὐτῷ] Odyss. III, 49.

B. 6. αὐτῷ] Odyss. IV, 177.

B. 8. ἕψεαι] Iliad. XXIV, 733.

B. 9. αὐτόν] Odyss. XIX, 288. Mox in codice est απεμφαινοιτο.

C. 3. ἀνώγοι] Iliad. XXII, 351.

